ἓν καὶ οὐ θέλον μερίζεσθαι, οὐδὲ γένος εἶναι βούλεσθαι 39-41; 10,1.5 (v. ἕν,b).19.23.26.28.29. 41-42 (v. ἕν,b throughout) ἐπισκεπτέον . ., πῶς ἐν τῷ ὄντι τὸ ἕν VI 2,11,1.4 (v. ἕν,b) ἀλλὰ γὰρ οὐδὲ τὸ ὄν (sc. ὁμοίως λέγεται ἐπὶ τῶν αἰσθητῶν καὶ τῶν νοητῶν) 7.12.13.15 (v. ἕν, b).16 (v. στρατός) τὸ δὲ ὂν μάλιστα πάντων τούτου (sc. τοῦ ἑν) τνγχάνει· ἐγγὺς γάρ 31. 35-36 (v. ἕν,b) ἐν τῷ ὄντι οὐδὲν κωλύει τὰ μὲν πρῶτα, τὰ δ' ὕστερα εἶναι, καὶ τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα εἶναι 45.48 (v. ἕν,b) ἐκεῖνα (sc. τὰ πρῶτα γένη) . . ἅμα μετὰ τοῦ ὄντος. κίνησις γὰρ μετὰ τοῦ ὄντος ἐνέργεια ὄντος ζωὴ αὐτοῦ οὖσα VI 2,13,3-4 ὅτι μὲν οὖν τὸ ὂν πρῶτον, εἴρηται, καὶ ὡς ἡ κίνησις οὐκ ἂν εἴη ἄλλο οὐδ' ἡ στάσις οὐδὲ θάτερον οὐδὲ ταὐτόν, δῆλον VI 2,15,3.7.9 (v. κίνησις,a) οὐ γὰρ ἔστιν ὄν, εἶτα κεκίνηται, οὐδὲ ἔστιν ὄν, εἶτα ἔστη· οὐδὲ πάθος ἡ στάσις καὶ ταὐτὸν δὲ καὶ θάτερον οὐχ ὕστερα, ὅτι μὴ ὕστερον ἐγένετο πολλά, ἀλλ' ἦν ὅπερ ἦν «ἓν πολλά» (cf. Plat. Parm. 144e)· εἰ δὲ πολλά, καὶ ἑτερότης, καὶ εἰ ἓν πολλά, καὶ ταυτότης 11-12 τί οὖν ἡ τοῦ ὄντος φύσις οὐκ ἀγαθόν; ἢ πρῶτον μὲν ἄλλως καὶ οὐκ ἐκείνως ὡς τὸ πρῶτον· καὶ ὡς ἐστιν ἀγαθὸν οὐχ ὡς ποιόν, ἀλλ' ἐν αὐτῷ VI 2,17,9.14 ἐκεῖνα (sc. τὰ πρῶτα γένη) δὲ ἦν τοῦ ὄντος ᾗ ὂν καὶ εἰς τὴν οὐσίαν. ἐντεῦθεν γὰρ καὶ τὸ «ἐπέκεινα τοῦ ὄντος» (cf. Plat. Rep. 509b), ἐπειδὴ τὸ ὂν καὶ ἡ οὐσία οὐ δύναται μὴ πολλὰ εἶναι, ἀλλὰ ἀνάγκη αὐτῷ ἔχειν ταῦτα, ἠριθμημένα γένη καὶ εἶναι ἓν πολλά 21-23 τὸ ἀγαθὸν τὸ ἓν τὸ ἐν τῷ ὄντι . . τὴν ἐνέργειαν αὐτοῦ τὴν κατὰ φύσιν πρὸς τὸ ἕν 26; 18,9 (v. ἐπιστήμη). 12-14 (v. νοῦς,a) οἷον τὸ ὂν διαιροῖτο ἂν ἤδη ἐφ' ἑαυτοῦ ἄνευ τῶν ἄλλων (sc. γενῶν); ἢ οὔ· ἐπειδὴ ἔξωθεν τοῦ γένους λαβεῖν δεῖ τὰς διαφοράς, καὶ εἶναι μὲν τοῦ ὄντος διαφορὰς ᾗ ὄν, οὐ μέντοι τὰς διαφορὰς αὐτό. πόθεν οὖν ἕξει; οὐ γὰρ δὴ ἐκ τῶν οὐκ ὄντων. εἰ δὴ ἐξ ὄντων, ἦν δὲ τὰ γένη τὰ τρία τὰ λοιπά, δῆλον ὅτι ἐκ τούτων καὶ μετὰ τούτων προστιθεμένων καὶ συνδυαζομένων καὶ ἅμα γινομένων VI 2, 19,2-5.19 (v. νοῦς,a); 21,34 (v. λογισμός).40.42 (v. νοῦς,a) σχημάτων δὴ πάντων ὀφθέντων ἐν τῷ ὄντι καὶ ποιότητος ἁπάσης κτλ 44 ἓν δὲ καὶ πολλά (sc. τὸ ὄν), καὶ ἐξ ἀρχῆς τὸ τοιοῦτον ὄν, ὥστε ἐν πᾶσιν εἴδεσι τὸ ἓν καὶ πολλά 47 VI 3,2,18 (v. ὕλη,c3); 6,11.13 (v. supra,i) τό τε γὰρ λευκὸν προστεθὲν πεποίηκε τὸ ὂν λευκόν, κτλ 14.15.16.17 cf. 23-27 ἀλλ' ἐπεὶ καὶ τοῦτο τὸ ὂν τὸ ἐν τῷ αἰσθητῷ οὐ παρ' αὐτοῦ ὄν, λεκτέον, ὅτι παρὰ τοῦ ὄντως ὄντος ἔχει τὸ ὄν, παρὰ δὲ τοῦ ὄντως λευκοῦ ἔχει τὸ λευκὸν εἶναι, κἀκείνου τὸ λευκὸν ἔχοντος κατὰ μετάληψιν τοῦ ἐκεῖ ὄντος ἔχοντος τὸ εἶναι VI 3,6,29-32; 7,2.8 (v. ὕλη,c1a) λεκτέον, ὅτι τὸ μὲν μᾶλλον ὂν δοίη ἂν τῷ ἧττον ὄντι τὸ [ἧττον] (del. Kirchhoff) εἶναι, τὸ δὲ ἧττον ὂν οὐκ ἂν δοίη τῷ μᾶλλον ὄντι. ἀλλ' εἰ μᾶλλον ὂν τὸ εἶδος τῆς ὕλης, οὐκέτι κοινόν τι τὸ ὂν κατ' ἀμφοῖν 11-13 περὶ γὰρ ἐλαττόνως ὂν μᾶλλον ὂν προσελθὸν τάξει μὲν πρῶτον ἂν εἴη, οὐσίᾳ δὲ ὕστερον 16; 8,33 (v. οὐσία,a).35 (v. τὸ ὑποβεβλημένον) οὐδὲ γὰρ ὂν ἁπλῶς αὕτη (sc. ἡ αἰσθητὴ οὐσία), ἀλλ' αἰσθητὸν ὂν τὸ ὅλον τοῦτο VI 3,10,14; 22,31 (v. κίνησις,a) VI 4,2,14-16 (v. τὸ πᾶν,c) οὐ γὰρ οἷόν τε ἐν τῷ μὴ ὄντι τὸ ὂν εἶναι, ἀλλ' εἶπερ, τὸ μὴ ὂν ἐν τῷ ὄντι. ὅλῳ οὖν ἐντυγχάνει (sc. τὸ πᾶν) τῷ ὄντι· οὐ γὰρ ἦν ἀποσπᾶσθαι αὐτὸ ἀφ' ἑαυτοῦ, καὶ τὸ πανταχοῦ δὲ λέγεσθαι εἶναι αὐτὸ δῆλον, ὅτι ἐν τῷ ὄντι (sc. λέγει)· ὥστε ἐν ἑαυτῷ. καὶ οὐδὲν θαυμαστόν, εἰ τὸ πανταχοῦ ἐν τῷ ὄντι καὶ ἐν ἑαυτῷ· ἤδη γὰρ γίνεται τὸ πανταχοῦ ἐν ἑνί 22-26.27 (v. αἰσθητός) ἀλλὰ τὸ ὂν αὐτοῦ (sc. τοῦ παντός); ἀλλὰ τὸ μέρος οὐκ ὂν ἔσται, εἰ τὸ ὅλον τὸ ὂν ὑπῆρχε VI 4,3, 34-35 πῶς οὖν τὸ ὂν καὶ τὰ ὄντα καὶ νοῦς πολλοὺς καὶ ψυχὰς πολλάς (sc. fas est dicere, Fic.), εἰ τὸ ὂν πανταχοῦ ἓν καὶ μὴ ὡς ὁμοειδές, καὶ νοῦς εἷς καὶ ψυχὴ μία; VI 4,4,1-2.11 (v. ψυχή,d1a).19 καὶ δὴ καὶ προϊόντα (sc. τὰ ὄντα κτλ) ἐκ τῶν προτέρων ἀριθμοὶ ὄντα, ἀλλ' οὐ μεγέθη, ὁμοίως ἀπορίαν παρέξουσι πῶς πληροῦσι τὸ πᾶν. οὐδὲν οὖν ἡμῖν παρὰ τοῦ πλήθους οὕτω προϊόντος ἐξεύρηται εἰς εὐπορίαν· ἐπεὶ καὶ τὸ ὂν πολλὰ συγχωροῦμεν εἶναι ἑτερότητι, οὐ τόπῳ. ὁμοῦ γὰρ πᾶν τὸ ὄν, κἂν πολὺ οὕτως ᾖ· «ἐὸν γὰρ ἐόντι πελάζει», καὶ «πᾶν ὁμοῦ» (cf. Parm. frg. B 8), καὶ νοῦς πολὺς ἑτερότητι, οὐ τόπῳ, ὁμοῦ δὲ πᾶς 23-24 ὥσπερ οὐδὲ τὸ ὂν τὰ ὄντα (sc. ἀναιρεῖ) 35 καὶ εἶναι μὲν πανταχοῦ τοῦ ὄντος τὸ ὂν οὐκ ἀπολειπόμενον ἑαυτοῦ (sc. νομιστέον), κτλ VI 4,11,5 πᾶν τὸ ὂν ἕν. καὶ γὰρ τὸ ἕτερον ἑαυτῷ (sc. τῷ ὄντι) καὶ ἡ ἑτερότης αὐτοῦ. οὐ γὰρ δὴ τοῦ μὴ ὄντος. καὶ τὸ ὂν δὲ τοῦ ἑνὸς οὐ κεχωρισμένου, καὶ ὅπου ἂν ᾖ τὸ ὄν, πάρεστιν αὐτῷ καὶ τὸ αὐτοῦ ἕν, καὶ τὸ ἓν ὂν αὖ ἐφ' ἑαυτοῦ. ἔστι γὰρ καὶ παρεῖναι χωρὶς ὄν 17-21 εἰ δὲ τοῦτο (i.e. σῶμα) ἔξω ὂν τοῦ οὕτως ὄντος ἦλθε πρὸς τὸ οὕτως ὂν καὶ ἐγένετο ἐν τῷ τῆς ζωῆς κόσμῳ, κτλ VI 4,12,42 ὃ (sc. ζῷον) ἔχει μὲν παροῦσαν αὐτῷ ἐκ τοῦ ὄντος ψυχήν, καθ' ἣν δὴ ἀνήρτηται εἰς πᾶν τὸ ὄν, κτλ VI 4,15,9-10 ποῦ γὰρ ἂν εἴη ἔξω τοῦ ὄντος περιπεπτωκός (sc. τὸ ἀγαθόν); ἢ πῶς ἄν τις ἐν τῷ μὴ ὄντι ἐξεύροι αὐτό; ἀλλὰ δηλονότι ἐν τῷ ὄντι οὐκ ὂν αὐτὸ μὴ ὄν. εἰ δὲ ὂν καὶ ἐν τῷ ὄντι ἐκεῖνο, ἐν ἑαυτῷ ἂν εἴη ἑκάστῳ. οὐκ ἀπέστημεν ἄρα τοῦ ὄντος, ἀλλ' ἐσμὲν ἐν αὐτῷ, οὐδ' αὖ ἐκεῖνο ἡμῶν (sc. ἀπέστη)· ἓν ἄρα πάντα τὰ ὄντα VI 5,1,22-25; 2,7 τὸ δὲ ὂν ἀεὶ [διειλημμένον] (del. Harder) . . οὐδ' ἐξιόν ποθεν οὐδ' αὖ εἰσιὸν εἰς ὁτιοῦν, κτλ 12 cf. εἰ δὴ τὸ ὂν ὄντως τοῦτο καὶ ὡσαύτως ἔχει κτλ VI 5,3,1 cf. εἰ οὖν μὴ ἀποστὰν ἑαυτοῦ μηδὲ μερισθὲν μηδὲ μεταβάλλον αὐτὸ μηδεμίαν μεταβολὴν ἐν πολλοῖς ἅμα εἴη ἓν ὅλον ἅμα ἑαυτῷ ὄν, τὸ αὐτὸ ὂν πανταχοῦ ἑαυτῷ τὸ ἐν πολλοῖς εἶναι ἂν ἔχοι· τοῦτο δέ ἐστιν ἐφ' ἑαυτοῦ ὂν

μὴ αὖ ἐφ' ἑαυτοῦ εἶναι. λείπεται τοίνυν λέγειν αὐτὸ μὲν ἐν οὐδενὶ εἶναι, τὰ δ' ἄλλα ἐκείνου μεταλαμβάνειν, ὅσα δύναται αὐτῷ παρεῖναι, κτλ 10-12 VI 5,6,15 (v. ψυχή,d2) ἀνάγεται γὰρ καὶ τὸ ἡμέτερον καὶ ἡμεῖς εἰς τὸ ὄν, καὶ ἀναβαίνομέν τε εἰς ἐκεῖνο καὶ τὸ πρῶτον ἀπ' ἐκείνου VI 5,7,1.15 (v. τὸ πᾶν,c); 12,35 (v. θεός, b) VI 6,4,3 (v. ἀριθμός,a); 5,3 (v. ἀριθμός,a). 21 (v. κίνησις,a).35.37 (v. τὸ ἕν,b); 6,37 (v. κίνησις,h) εἴπερ οὖν ἐφετὸν τὸ εἶναι, τὸ μάλιστα ὂν μᾶλλον (sc. ἐφετόν) ὅ τε μάλιστα νοῦς, εἴπερ τὸ νοεῖν ὅλως (sc. ἐφετόν)· καὶ τὸ τῆς ζωῆς ὡσαύτως εἰ δὴ τὸ ὂν πρῶτον δεῖ λαβεῖν πρῶτον ὄν, εἶτα νοῦν, εἶτα τὸ ζῷον — τοῦτο γὰρ ἤδη « πάντα » δοκεῖ « περιέχειν » (cf. Plat. Tim. 31a) — ὁ δὲ νοῦς δεύτερον — ἐνέργεια γὰρ τῆς οὐσίας — οὔτ' ἂν κατὰ τὸ ζῷον ὁ ἀριθμὸς εἴη κτλ VI 6,8,16-18; 9,10-11 (v. ἀριθμός,a).11. 13 (v. ἕν,b).25.26.29.32.37 (v. ἀριθμός,a) τῷ ὄντι τὸ ἓν (q.v.,b) ἀρχὴ κτλ 39.40; 10,1 (v. ἀριθμός,a).16 (v. ἕν,b).45 (v. οὐσία,a) τῷ μάλιστα ὄντι συνοῦσαν (sc. ἑνάδα) VI 6,11,13; 12, 4-6 (v. ἕν,b); 13,32 (v. οὐσία,a).41.52-53 (v. ἕν,b); 14,13 (v. ἕν,b) λέγωμεν τὸ μὲν ξύμπαν ὂν τὸ ἀληθινὸν ἐκεῖνο καὶ ὂν εἶναι καὶ νοῦν καὶ ζῷον τέλειον εἶναι, ὁμοῦ δὴ πάντα ζῷα εἶναι, κτλ VI 6,15,2 μετὰ δὲ τοῦτο (sc. νοῦν) ἤδη τὸ ὄν, καὶ ἐν τούτῳ ὁ ἀριθμός, μεθ' οὗ τὰ ὄντα γεννᾷ κινούμενον κατ' ἀριθμόν, προστησάμενον τοὺς ἀριθμοὺς τῆς ὑποστάσεως αὐτῶν, ὥσπερ καὶ αὐτοῦ τὸ ἓν συνάπτον αὐτὸ τὸ ὂν πρὸς τὸ πρῶτον, οἱ δ' ἀριθμοὶ οὐκέτι τὰ ἄλλα πρὸς τὸ πρῶτον (sc. συνάπτουσι)· ἀρκεῖ γὰρ τὸ ὂν συνημμένον. τὸ δὲ ὂν γενόμενον ἀριθμὸς συνάπτει τὰ ὄντα πρὸς αὐτό· σχίζεται γὰρ οὐ καθὸ ἕν, ἀλλὰ μένει τὸ ἓν αὐτοῦ· σχιζόμενον δὲ κατὰ τὴν αὐτοῦ φύσιν εἰς ὅσα ἠθέλησεν, εἶδεν εἰς ὅσα κατὰ (cj. H-S: καὶ MSS) τὸν ἀριθμὸν ἐγέννησεν ἐν αὐτῷ ἄρα ὄντα· ταῖς γὰρ δυνάμεσι τοῦ ἀριθμοῦ ἐσχίσθη καὶ τοσαῦτα ἐγέννησεν, ὅσα ἦν ὁ ἀριθμός 24-29 ἡ . . τριὰς ἐν τῷ ὄντι, ἀρχὴ οὐσίας VI 6,16,49 πάντοτε οὖν σχῆμα ἓν τῷ ὄντι, κτλ VI 6,17,28 (v. ζῷον, c) οὐδὲ γὰρ ἔστι τι ὂν μετ' αὐτό (sc. τὸ ζῷον), ὃ ἐφάψεται αὐτοῦ· εἰ δέ τι ἦν, ὑπὸ τούτου ἂν ἦν· καὶ εἰ ἐναντίον τι ἦν, ἀπαθὲς ἂν ἦν τοῦτο (sc. τὸ ζῷον) ὑπ' αὐτοῦ τοῦ ἐναντίου· ὂν δὲ αὐτὸ οὐκ ἂν τοῦτο (this lower thing) ἐποίησεν ὄν, ἀλλ' ἕτερον πρὸ αὐτοῦ κοινόν, καὶ ἦν ἐκεῖνο τὸ ὄν· ὥστε ταύτῃ Παρμενίδης ὀρθῶς ἓν εἰπὼν τὸ ὄν· καὶ οὐ δι' ἐρημίαν ἄλλου ἀπαθές, ἀλλ' ὅτι ὄν. μόνῳ γὰρ τούτῳ παρ' αὐτοῦ ἐστιν εἶναι. πῶς ἂν οὖν τις τὸ ὂν παρ' αὐτοῦ ἀφέλοιτο ἢ ὁτιοῦν ἄλλο, ὅσα ὄντος ἐνεργείᾳ καὶ ὅσα ἀπ' αὐτοῦ; ἕως γὰρ ἂν ᾖ, χορηγεῖ· ἔστι δ' ἀεί· ὥστε κἀκεῖνα VI 6,18,38-45 ἔχει μὲν οὖν (sc. τὰ εἴδη) καὶ τὸ ὂν ἐπὶ πᾶσιν, κτλ VI 7,16, 6; 25,13-14 τῆς τοῦ ὄντος ζωῆς πληρωθεῖσα (sc. ψυχή), καὶ ὄντως ὂν καὶ αὐτὴ γενομένη κτλ VI 7,31,32-33; 34,17 (v. ἐρᾶν); 41,4 (v. ὀφθαλμός) εἰ τοίνυν οὐδ' ἐπὶ τοῦ ὄντος τὸ συνέβη κτλ VI 8,9,24.25-29 (v. τὸ συνέβη,a2); 14,14 (v. τύχη,a) ὥστε . . πάντα ἀεὶ νοερῶς ἑστηκότα εἶναι, ὅσα ἐν τῷ ὄντι VI 8,17,9; 18,19 VI 9,2,2-4.6 (v. οὐσία,b).9.17.22 (v. ἕν,b) ἔχει δὲ καὶ ζωὴν [καὶ νοῦν] (del. Harder) τὸ ὄν· οὐ γὰρ δὴ νεκρόν· πολλὰ ἄρα τὸ ὄν. εἰ δὲ νοῦς τοῦτο (sc. τὸ ὄν) εἴη, καὶ οὕτω πολλὰ ἀνάγκη εἶναι. καὶ ἔτι μᾶλλον, εἰ τὰ εἴδη περιέχοι 24-25 cf. 30 cf. οὐδὲ τὸ ὄν (sc. ἔσται τὸ ἕν)· τὸ γὰρ ὂν τὰ πάντα 47 VI 9,3,2 (v. τὸ ἕν, a) ἐκεῖνο δὲ οὔ τι, . . οὐδὲ ὄν· κτλ 38 (v. τὸ ἕν,a) ταῦτα (sc. εἶδος, κίνησις κτλ) γὰρ περὶ τὸ ὄν, ἃ πολλὰ αὐτὸ ποιεῖ. διὰ τί οὖν, εἰ μὴ κινούμενον, οὐχ ἑστώς (sc. τὸ ἕν); ὅτι περὶ μὲν τὸ ὂν τούτων θάτερον ἢ ἀμφότερα ἀνάγκη, τό τε ἑστὼς στάσει ἑστὼς καὶ οὐ ταὐτὸν τῇ στάσει· ὥστε συμβήσεται αὐτῷ καὶ οὐκέτι ἁπλοῦν μενεῖ (scr. Dodds: μένει MSS) 45-46 τὸ ἓν (q.v., a) δ μὴ ὂν ἐστιν, κτλ VI 9,5,30 ἀρχὴν ὄντος VI 9,9,2 τὸ δὲ ἐν αὐτῇ μόνῃ (i.e. ψυχῇ) καὶ οὐκ ἐν τῷ ὄντι ἐν ἐκείνῳ (sc. τῷ ἑνί) VI 9,11,41

k) τὰ ὄντα, ὄντα: τὰ ὄντα ὁπόσα καὶ τὰ μὴ ὄντα αὖ, ἕτερα δὲ ὄντων (sc. ἡ διαλεκτικὴ δύναται εἰπεῖν) I 3,4,5 cf. I 3,5,12 ἐν τοῖς οὖσι I 4,3,27 (v. τὸ ἄριστον) cf. I 6,2,8 (v. οὐσία, b) cf. εἰ ἔστιν ἐν τοῖς οὖσιν (sc. τὸ κακόν) I 8, 1,6; 3,2 cf. ἔστιν ἐν τοῖς οὖσιν ὕλη, ἔστι δὲ καὶ ψυχὴ I 8,14,27; 15,4. II 4,7,15; 11,10. II 5,1,2. II 9,11,8. III 2,2,18. III 5,9,22.38. IV 3,24,8 (v. δίκη) cf. ἄτοπον εἶναι μέν τι ἐν τοῖς οὖσιν, μὴ μέντοι ἔχειν τι δ δύναται IV 4,35,61. IV 7,2, 23; 4,5. IV 8,7,5. V 1,7,21. V 9,3,5; 14,3. VI 1,4,35; 26,4. VI 2,3,20; 7,41; 10,18. VI 6,3,3.10. 11; 13,31; 14,9.38. VI 7,17,6; 25,18 cf. τὸ . . πρὸ τοῦ ἐν τοῖς οὖσι τιμιωτάτου VI 9,5,25 ἐκεῖθεν (sc. ἀπὸ τοῦ θεοῦ) τὸ καλὸν καὶ ἡ μοῖρα ἡ ἑτέρα τῶν ὄντων. κτλ (v. καλλονή) I 6,6,21 ἄριστον ὂν τῶν ὄντων καὶ ἐπέκεινα τῶν ὄντων (sc. τὸ ἀγαθόν) I 7,1,8 I 8,1,2 (v. παρέρχεσθαι,a) « οὗ (sc. τοῦ ἀγαθοῦ) πάντα » τὰ ὄντα « ἐφίεται » (cf. Aristot. Eth. Nic. 1094a) I 8,2,3.13 (v. ἀκολουθία) εἰ δὴ ταὐτά ἐστι τὰ ὄντα καὶ τὸ ἐπέκεινα τῶν ὄντων, οὐκ ἂν ἐν τοῖς οὖσι τὸ κακὸν ἐνείη, κτλ I 8,3,1-2.3.37 (v. εἴδωλον,b); 6,57 (v. ἐναντίωσις) σώματα μόνον τὰ ὄντα εἶναι θέμενοι II 4,1,7; 5,28 (v. γινόμενα, b); 8,16 πῶς οὖν τις ληψεταί τι τῶν ὄντων, ὃ μὴ μέγεθος ἔχει; ἢ πᾶν ὅπερ μὴ ταὐτὸν τῷ ποσῷ· οὐ γὰρ δὴ τὸ ὂν καὶ τὸ ποσὸν ταὐτόν II 4,9,1; 10,34 (v. φόβος); 14,20 (v. ἀπόφασις, A) τὰ ὄντα κυρίως, ἃ δὴ λόγοι II 4,16,2 cf. 4 τῶν ὄντων καὶ αἰῶνα, οὐ χρόνον ἐχόντων II 5,3,8; 4,4-5 (v. ὕλη,a1) cf. 5-8.10.11 τὴν τῶν ὡς ἀληθῶς ὄντων φύσιν II 5,4,15; 5,1 (v. ὕλη, a1).14 (v. ἀφίστασθαι,c) τῶν ὄντων ἤδη πανσαμένων ἐκείνων φανεῖσα (sc. ὕλη) 17.26 τοῖς ψευδῶς οὖσιν 29 II 9,3,6 (v. δύναμις,Bb); 6,4-5 (v. ἀντίτυπος,c) ἔχοντα ἐν αὐτῷ πάντα τὰ ὄντα (sc. νοῦν) 20 III 1,1,1-2 (v. γινόμενα,b).4.6.13 (v.

ἐνέργεια,b); 2,15 (v. ἀνάγκη,a). 17; 8,5 (v. ψυχή, d1a) III 2,2,10 (v. ἔσχατος,e) III 5,3,4 (v. οὐσία, b) διαιρεῖν ἀπ' ἀλλήλων πολλὰ τῶν ὄντων ὁμοῦ μὲν ὄντα, τάξει δὲ ἢ δυνάμεσι διεστῶτα III 5,9,26.28.38 III 6,6,66 (v. σῶμα,b); 7,28 (v. εἰσιόντα) οὐδὲν δεῖ εἶναι τῶν ὄντων (sc. τὴν ὕλην) III 6,13,22 cf. 22.25.37 (v. αἰσθητός) τὴν τῶν ὄντων ὑπόστασιν, ἧς τὰ μὲν ὄντα ὄντως ἀεὶ μεταλαμβάνει, τὰ δὲ μὴ ὄντα μὴ ὄντως III 6,13,52-54; 15,25 (v. ἀληθής,a) εἴ ποτε ἐξεύροι αὐτὴν (sc. τὴν ὕλην) λόγος βαθύς τις ἐξ ἄλλων ὄντων, ὡς ἄρα ἐστί τι κτλ 29.30 (v. ἀπολείπεσθαι); 17,12 (v. ἐνόπτρισις); 18,24 (v. εἶδος,c) τὰ .. πρώτως ὄντα III 7,4,6.40 (v. τὸ πᾶν,c) III 8,7,1 (v. θεωρία). 8 (v. μίμησις); 10,35 (v. τὸ μέγα,a) τὴν τῶν ὄντων περιλαβόντος φύσιν (sc. τοῦ νοῦ) III 8,11,28 III 9,9,2 (v. νοῦς,a) οὐδ' ἔν τινι τῶν ὄντων γιγνομένη (sc. ἡ ἀληθινὴ οὐσία) οὔτε κατὰ μέρη οὔτε κατὰ ὅλα, οἷον πᾶσιν ὁμοῦ τοῖς οὖσιν ἐποχουμένη, κτλ IV 2,1,20-21 ἀπολεῖται οὐδὲν τῶν ὄντων IV 3,5,6; 8,20 (v. διασπᾶσθαι).21 (v. εἰκῇ) ἑστάναι δεῖ τὰ ὄντα κτλ 23.27 (v. μίμησις); 15, 14 (v. νομοθεσία); 25,8.12 (v. μνήμη) IV 4,13, 20 (v. φύσις,a) IV 5,7,17 (v. ὁμοίωμα) IV 7, 4,14 (v. πως ἔχειν,b).18 (v. ὕλη,c2); 7,28 (v. σῶμα,a) « θεᾶσθαι τὰ ὄντα » (cf. Plat. Phaedr. 249e) IV 8,4,30 (v. ἀνάμνησις).42 (v. γίγνεσθαι, d) οὐδ' ἂν ὑπῆρχέ τι τῶν ὄντων στάντος ἐν αὐτῷ ἐκείνου, οὐδ' ἂν τὸ πλῆθος ἦν ἂν τῶν ὄντων τούτων (i.e. τῶν αἰσθητῶν) τῶν ἀπὸ τοῦ ἑνὸς γεννηθέντων μὴ τῶν μετ' αὐτὰ (i.e. τὰ νοητά) τὴν πρόοδον λαβόντων, ἃ ψυχῶν εἵληχε τάξιν IV 8,6,3-4 τὰ νοητῶς (q.v.) .. ὄντα 26 ἡ θέα τῶν ὄντων IV 8,7,24 ἔν τι ἀεὶ τῶν ὄντων (sc. περὶ ψυχήν) V 1,4,20; 5,11 (v. παχύς) τῶν ἀεὶ ὄντων V 1,6,20 (v. γένεσις, a) πάντα τὰ ὄντα, ἕως μένει ἐκ τῆς αὐτῶν οὐσίας ἀναγκαίαν τὴν περὶ αὐτὰ πρὸς τὸ ἔξω αὐτῶν ἐκ τῆς παρούσης δυνάμεως δίδωσιν αὐτῶν ἐξηρτημένην ὑπόστασιν, εἰκόνα οὖσαν οἷον ἀρχετύπων ὧν ἐξέφυ 30 τὰ ὄντα πάντα σὺν αὐτῷ γεννῆσαι (sc. τὸν νοῦν) V 1,7,29 τύπον γὰρ ἕξει ὁ ἔχων τὰ ὄντα ἕτερον τῶν ὄντων, ὅπερ οὐκ ἔστιν ἀλήθεια V 3,5,24.25 (v. νοῦς,c) τὰ γὰρ ὄντα ὁρῶν ἑαυτὸν ἑώρα (sc. ὁ νοῦς) V 3,6,6 τὸν ἀληθῆ νοῦν .. ὃς ἦν ὁ αὐτὸς τοῖς .. ὄντως οὖσι 30; 12,12 (v. ἕν,b) πάντων τῶν ὄντων δυνατώτατον (sc. τὸ πρῶτον) V 4,1,25 V 5,1,2 (v. νοῦς,a).38 (v. ἀνόητος).40; 2,2 (v. νοῦς,a).5 ἕδρα ἔσται τοῖς οὖσι 11; 3,1 (v. νοῦς, a); 5,4 (v. τὸ ἕν,a) ἀρκεῖ αὐτὸ γεννῆσαι τὰ ὄντα 7 οὐδὲν δὲ τούτων ὂν (sc. τὸ ἕν) μόνον ἂν λέγοιτο ἐπέκεινα τούτων. ταῦτα δὲ τὰ ὄντα καὶ τὸ ὄν· « ἐπέκεινα » ἄρα « ὄντος » (cf. Plat. Rep. 509b) V 5,6,10; 13,33 (v. τὸ ἀγαθόν).36 λέγομεν τὰ ὄντα ὡς ὄντα καὶ αὐτὸ ἕκαστον καὶ τὰ ἀληθῶς ὄντα ἐν « τῷ νοητῷ τόπῳ » (cf. Plat. Rep. 517b) εἶναι κτλ V 6,6,13.14 V 8,4,45-46 (v. σοφία) ἀγάλματα (q.v.) οὐ γεγραμμένα, ἀλλὰ ὄντα. κτλ V 8,5,25 (v. ἰδέα,a) εἰ οὗτος (sc. ὁ χωριστὸς νοῦς) τὰ ὄντα V 9,3,7 cf. V 9,5, 13.26 V 9,5,32 (v. δίζησθαι) οὐδὲν γὰρ ἔξω (sc. τοῦ νοῦ) τῶν ὄντων οὐδ' ἐν τόπῳ, μένει δὲ ἀεὶ ἐν αὐτοῖς μεταβολὴν οὐδὲ φθορὰν δεχόμενα· διὸ καὶ ὄντως ὄντα 32-34 τόδε πᾶν ἰνδαλμάτων μετέχον ἕτερα αὐτῶν δείκνυσι τὰ ὄντα, ἄτρεπτα μὲν ὄντα ἐκεῖνα, αὐτὰ δὲ τρεπόμενα, ἱδρυμένα τε ἐφ' ἑαυτῶν, οὐ τόπου δεόμενα· κτλ 43; 8,11-12 (v. νοῦς,a) τὴν νόησιν ἐπὶ τοῖς οὖσιν 13.17 περὶ τῶν ὄντων πόσα καὶ τίνα ἐζήτησαν μὲν καὶ οἱ πάνυ παλαιοί, ἕν, οἱ δὲ ὡρισμένα, οἱ δὲ ἄπειρα εἰπόντες, κτλ VI 1,1,1.14 (v. γένος,b) τὴν διαιρουμένην εἰς δέκα τὰ ὄντα (sc. δόξαν) 15 τὰ ἐκεῖ ὄντα 23 (v. γένος,b) τῶν πρώτως ὄντων 27 (v. οὐσία,a) οὐ πάντα ἄρα τὰ ὄντα διαιρεῖσθαι ἐβουλήθησαν (sc. Peripatetici), ἀλλὰ τὰ μάλιστα ὄντα παραλείπασιν 29-30; 9,5 (v. σχέσις); 15,13 (v. γένος, b) τὸ ὑποκείμενον ἓν ἀριθμοῦντες (sc. Stoici) οὐ τὰ ὄντα ἐξαριθμοῦνται, ἀλλ' ἀρχὰς τῶν ὄντων ζητοῦσι· διαφέρει δὲ ἀρχὰς λέγειν καὶ αὐτά VI 1,25,23-24; 27,27 (v. ὕλη,a1); 28,7 (v. σῶμα,b); 30,25-26 (v. γένος,b) περὶ δὲ τῶν ὅσοι ἄλλως τὰ ὄντα ἢ τὰς ἀρχὰς τῶν ὄντων ἔθεντο, κτλ 28 VI 2,1,17; 2,4 (v. γένος,b) τὰ ὄντα ζητοῦμεν, οὐ τὸ ἐπέκεινα VI 2,3,10; 8,46 (v. ὄν,j); 12,4 (v. ἀριθμός,f); 16,6; 19,6 (v. ὄν,j). 18 (v. νοῦς,a); 21,27.57 (v. νοῦς,a) VI 3,21,12 (v. κίνησις,a) VI 4,4,1 (v. ὄν,j).19.35 ἓν ἄρα πάντα τὰ ὄντα VI 5,1,26; 12,35 (v. θεός,b) VI 6,2,10 (v. ἀριθμός,a); 3,10-11 (v. ἀπειρία,B); 9,9 (v. ἀριθμός,a).12-13 (v. ἕν,b) καὶ μὴν οὐδὲ τὰ ὄντα, ὅτε ἐγένετο, ἠριθμήθη, ἀλλ' ὅσα ἔδει (cj. Harder: δεῖ MSS) γενέσθαι δῆλον ἦν, [ὅσα ἔδει] (del. Harder) 22.24.29.37 (v. ἀριθμός,a) βάσιν δὲ ἔχει τὰ ὄντα ἐν αὐτῷ (sc. ἀριθμῷ) καὶ πηγὴν καὶ ῥίζαν καὶ ἀρχήν 38; 10,2 (v. ἀριθμός, a).9.18 (v. ἕν,b).34 (v. ἀριθμός,a).37 (v. δεκάς). 45 (v. οὐσία,a); 11,5 (v. ἑνάς).30 (v. ἀριθμός,a); 12,13 (v. ἕν,b); 13,57 (v. τοῦτο,c); 15,25.29 (v. ὄν,j).35 (v. ἀριθμός,a); 16,2.5-6 (v. ἀριθμός, a); 17,10 (v. νόημα); 18,9 (v. πέρας).36 (v. αἰών) VI 7,13,28 (v. νοῦς,a) τῷ ὁρῶντι οὔτε τὰ ὄντα οὔτε νοῦς ἐστιν, ἀλλὰ αἴτιος τούτων VI 7,16,29 cf. 30 VI 7,17,6 (v. γένεσις,a); 23, 6 (v. τὸ ἀγαθόν,d); 25,18 (v. ἔσχατος,e); 32,13-14 (v. πάντα,d); 42,10 (v. βασιλεύς) θεωρεῖν .. τί τῶν ὄντων δοῦλον ἑτέρων VI 8,7,27 τὸ πρὸς τὰ ὄντα ὁπωσοῦν (sc. ἀφαιροῦμεν ἀπὸ τοῦ ἑνός) VI 8,8,15; 9,41.45; 13,12 (v. τὸ ἀγαθόν,d) οὗ (sc. τοῦ ἀγαθοῦ) τὰ ὄντα πάντα VI 8,14,12 ἕκαστον τῶν κατὰ ἀλήθειαν ὄντων καὶ ὑπ' ἐκείνης τῆς φύσεως ἐλθόντων εἰς ὑπόστασιν, καὶ εἴ τι δὲ τοῖς αἰσθητοῖς [τοιοῦτον] (del. Igal, H-S²), τῷ ἀπ' ἐκείνων τοιοῦτον· λέγω δὲ τοιοῦτον τὸ σὺν αὐτῶν τῇ οὐσίᾳ ἔχειν καὶ τῆς ὑποστάσεως τὴν αἰτίαν, ὥστε τὸν ὕστερον θεατὴν ἑκάστου ἔχειν εἰπεῖν, διὸ ἕκαστον τῶν ἐνυπαρχόντων, οἷον διὰ τί ὀφθαλμὸς καὶ διὰ

τί πόδες τοῖσδε τοιοίδε 17 VI 9,1,1-2 (v. τὸ ἕν,b); 2,12.22 (v. τὸ ἕν,b); 3,37 (v. νοῦς,c); 5,1 (v. αὐτόματος).37 (v. δύναμις,Ba)

I) μὴ ὄν, μὴ ὄντα: λείπεται τοίνυν, εἴπερ ἔστιν (sc. τὸ κακόν), ἐν τοῖς μὴ οὖσιν εἶναι οἷον εἰδός τι τοῦ μὴ ὄντος ὂν καὶ περί τι τῶν μεμιγμένων τῷ μὴ ὄντι ἢ ὁπωσοῦν κοινωνούντων τῷ μὴ ὄντι. μὴ ὂν δὲ οὕτι τὸ παντελῶς μὴ ὄν, ἀλλ' ἕτερον μόνον τοῦ ὄντος· οὐχ οὕτω δὲ μὴ ὂν ὡς κίνησις καὶ στάσις ἡ περὶ τὸ ὄν, ἀλλ' ὡς εἰκὼν τοῦ ὄντος ἢ καὶ ἔτι μᾶλλον μὴ ὄν I 8,3, 4-9 cf. II 5,5,9.13. III 6,7,11-13 cf. οὐ γὰρ δὴ εἰς τὸ πάντη μὴ ὂν ἥξει ἡ ψυχῆς φύσις, ἀλλὰ κάτω μὲν βᾶσα εἰς κακὸν ἥξει, καὶ οὕτως εἰς μὴ ὄν, οὐκ εἰς τὸ παντελὲς μὴ ὄν VI 9,11,36-38 II 4,6,5 (v. ἀπόλλυσθαι).6 (v. τὸ γενόμενον) οὐκ ἀνεχομένη (sc. ἡ ψυχή) ἐν τῷ μὴ ὄντι ἐπιπολὺ ἑστάναι II 4,10,35; 16,3 (v. στέρησις) II 5,4,6.11 μὴ ὄν (MSS: ἄν cj. Kirchhoff,H-S²)13. 14 τοῦτο δὲ «ὄντως μὴ ὄν» (cf. Plat. Soph. 254d).εἰ οὖν ἐνεργείᾳ μὴ ὄν, μᾶλλον μὴ ὄν, καὶ ὄντως ἄρα μὴ ὄν II 5,5,24-25 τὸ ἀληθὲς ἔχοντι ἐν τῷ μὴ ὄντι 27 III 6,6,16.21.26.32.33.60 (v. σῶμα,b) μὴ ὂν μὴ ὄντι (sc. προσπῖπτον) 63-64; 13,54-55 (cf. supra,j) τὸ πάντη μὴ ὂν ἄμικτον τῷ ὄντι III 6,14,20 ἀναγκασθεῖσα εἶναι . . ἐν ὄγκῳ, ὅσον ἡ δύναμις πεποίηκε τὸ μηδὲν ὂν αὐτὸ πάντα εἶναι III 6,17,21 ἢ ἐν τῷ . . τὸ μηδὲν ἂν μὴ ὂν αὐτῇ προσγενέσθαι (sc. οὐσία) III 7,4,40 cf. μηδὲν τοῦ ποτε μὴ ὄντος 42 cf. τὸ οὐ ποτὲ μὲν ὄν, ποτὲ δὲ μὴ ὄν III 7,6,22 III 7,11,39 (v. διάνοια) εἰς δὲ τὸ μετ' αὐτὴν (sc. φερομένη ἡ μερικὴ ψυχὴ φέρεται) εἰς τὸ μὴ ὄν III 9,3,9 cf. 11 V 1,2,27 (v. σκότος) πῶς ἂν τὸ <συγκείμενον ἐκ πολλῶν> (from l. 16 trsp. Igal,H-S²) ἐκ πάντων εἴη σύνθετον ἐκ μὴ ὄντων γεγενημένον, οὐ τὶ μὴ ὄντων, ἀλλ' ὅλως μὴ ὄντων; V 6,3,19-20 τὰ ἐν τῷ μήπω ὄντι V 9,5,21 (v. ποιητής,a) τὸ μὴ ὂν ὡς τὸ μάλιστα ὂν προτάττουσι (sc. Stoici) VI 1,28,4 VI 2,1,24 (v. ὄν,j) VI 3,21,31 (v. κίνησις,a) VI 4,2,22; 11, 18 VI 5,1,23-24 (v. ὄν,j); 12,22-23 (v. τὸ πᾶν,c) οὐ γὰρ οἷόν τε ἐν τοῖς μὴ οὖσι τὸ μᾶλλον εἶναι VI 6,13,28

εἵνεκα *for the sake of*: τούτων . . εἵ. IV 4, 30,12 See also ἕνεκα

εἰπεῖν* a) *speak, say*: ἐκεῖ δὲ . . πρὶν εἰπεῖν ἄλλῳ ἰδὼν ἐκεῖνος (sc. 'that other') ἔγνω IV 3,18,22 IV 4,17,24 (v. σύμβουλος) V 3,17,22 τὸν ἐξαρχῆς εἰπόντα (sc. νοῦν) V 5,2,23 οὐκ ἂν εἰποῦσα μὴ κτλ VI 7,34,34 C. acc.: *say, mention*: εἰπεῖν ταδὶ καὶ οὕτωσὶ μέλη κτλ II 9,14,6 (Gnostic) τί οὖν ἂν εἴποι ἡ ἑτέρα ψυχή κτλ; IV 3,27,14; 32,24 (v. Ἡρακλῆς) IV 4,17,18 V 3,10,32 εἰπεῖν αὐτόν 33 (v. τὸ ἀμερές); 17,23 V 5,13,12 V 8,1,5 αἰτίαν εἰπεῖν δι' ἣν κτλ V 8, 7,36 VI 8,9,43 C. acc. and infin.: ἴσως βέλτιον εἰπεῖν κτλ I 1,6,1 εἴποι ἄν τις κτλ I 2,1,35 cf. I 7,1,1 τοῖς μὲν ἐπῆλθε μηδὲ εἶναι (sc. τὴν πρόνοιαν) εἰπεῖν, τοῖς δὲ ὡς ὑπὸ κακοῦ δημιουργοῦ ἐστι γεγενημένος (sc. ὁ κόσμος) III 2,1,8 III 7,8,66; 9,32 C. ὡς: III 2,1,8 VI 2,4,6 VI 4,8,9 C. ὅτι: IV 4,19,16 (v. μηνύειν). 17 C. dep. quest.: I 3,4,3 (v. ἕξις,b) πειραθῶμεν . . εἰπεῖν ἡμῖν αὐτοῖς . . πῶς κτλ V 8,1, 4.5 τίνα . . εἰπάτωσαν VI 1,8,3 (v. ὑπόστασις) ὡς εἴπομεν II 3,15,8 Parenthetical uses and uses without ὡς or ὅτι: ἀλλὰ κρατεῖν ἔδει, ἄλλος ἂν εἴποι I 8,8,29 cf. εἴποι τις ἄν II 9, 15,34. III 3,4,19. IV 3,6,11; 18,8. IV 9,5,12. VI 7,1,9 ἀλλὰ τὸν θεὸν θεωρεῖ, εἴποιμεν ἄν V 3,7,1 εἰπών «φῶς ἀνῆψεν» (cf. Plat. Tim. 39b) κτλ II 1,7,20 cf. IV 3,7,19. VI 5,12,18 λέγεται . . παρὰ πάντων, ὡς εἰπεῖν I 6,1,21 cf. I 6,4,19 cf. ἡμέτερος δέ, ὡς ψυχῆς πέρι εἰπεῖν III 4,5,21 (v. δαίμων) b) *describe as, say of*, c. predic. acc.: εἰ καὶ ὅτι μάλιστα οὐρανίαν τὴν ψυχὴν εἴπομεν III 5,3,25 III 6,6,11 III 7,8,27 IV 4,44,33 V 8,8,20 cf. εἰπεῖν οἷον ἐκ φωτὸς τὴν ἐξ αὐτοῦ περίλαμψιν V 3,15,6 VI 8,9,31 (v. συμβαίνειν,a2)

εἴπερ* *if indeed*: I 1,2,10; 4,19; 12,14 I 2,2, 10; 6,19; 7,9 I 4,9,27 I 8,3,4 εἴπερ μηδὲ ζωήν (sc. ἔχει) I 8,11,14 εἴπερ μὴ λυθήσεται (sc. τὸ πᾶν) II 3,8,4 III 5,3,16.18 IV 7,1,23 V 5,8, 26; 9,2 etc. ἀλλ' εἴπερ elliptical, *but if anything is to be said*: VI 4,2,22 (v. τὸ ὄν,j) VI 8,9,44

εἴργειν *shut in*: Pass.: εἴργεσθαι (sc. τὴν ὕλην) . . ἔξωθεν καὶ κύκλῳ καὶ μὴ ἐξεῖναι προχωρεῖν VI 6,3,41

εἰρήνη *peace*: εἰρήνης ἐν ἀνοίαις καὶ κακίαις πάσαις φυλαττομένης (sc. if peace were preserved) III 2,8,48

εἰρμός *interconnection, concatenation*: τὴν τῶν αἰτίων ἐπιπλοκὴν . . καὶ τὸν ἄνωθεν εἰρμόν III 1,2,31 cf. III 1,4,11 τὰ . . κακίᾳ καταληφθέντα ὑπεβλήθη ἄλλῳ εἰρμῷ καὶ ἄλλῃ τάξει III 2,5,14

εἰς* *into, to, towards, with a view to, in regard to* a) of place with sense of motion obscured or lost: «εἰς Ἅιδου κείσεσθαι ἐν βορβόρῳ» (cf. Plat. Phaed. 69c) I 6,6,4 οἷον καὶ εἰς τὸ κάτοπτρον, εἰ ὁρῷτο (εἰ ὁρῷτο cj. H-S: ἐνορῷτο MSS) τὰ εἴδωλα III 6,13,35 εἰς δὲ τὸ μεταξύ ἐστιν ἐν τῷ οἰκείῳ (sc. ἡ ψυχή) III 9,3,14 τὸ ἀπὸ τούτου (sc. τοῦ ἡλίου) εἰς τὸ ἔξω τούτου ὁρώμενον (sc. φῶς) IV 4,29,11 ψυχὴν μίαν εἰς πάντα αὐτοῦ μέρη (sc. τόδε τὸ πᾶν) IV 4, 32,6 τῶν εἰς τὸ εἴσω μεμενηκότων V 8,12,8 οὐκ ἐπιλείπει εἰς τὸ πανταχοῦ ἓν οὖσα VI 5,9, 20 ἀδυνατοῦν εἰς αὐτὸ μένειν VI 6,1,4 αἱ δυνάμεις (q.v.,Bb) καταλείπουσιν ἀεὶ εἰς τὸ ἄνω VI 7,9,39 cf. VI 7,25,22 (v. ἄνω,f)

b) of time: εἰς τὸν πλείονα χρόνον ἐπιτείνεσθαι I 5,6,13 εἰς ἅπαντα μένει τὸν χρόνον II 1,1,19 εἰς χρόνον . . μεμετρημένον III 7,6,43 εἰς δέκατον ἔτος ('ten years hence') I 5,8,9 εἰς ὅ ἄν ('until') ἐπ' ἀρχὴν ἔλθῃ I 3,4,16

— For εἰς with ἀεί, ἔσχατον, τέλος, ὕστερον see these words

c) of manner, extent, capacity: *εἰς* (MSS: *εἴη* cj. Dodds,H-S²) *τὸ αὐτό* (q.v.,c) *in the same way* I 8,14,12 *μέχρις ἐσχάτων οὖσα εἰς ἴσον* (sc. *ψυχή*) IV 3,20,48 *εἰς πλέον..κινηθεῖσα* VI 6,11,27 *διὰ τί πόδες εἰς μῆκος* (q.v.); VI 8,14,25 *εἰς δύναμιν* II 9,17,9 (v. *ἀμερής*)

d) in senses of *coming to* (often with ellipse of verb), *directed towards*: *τὸ κακὸν αὐτοῦ* (sc. *τοῦ πλανήτου*) *εἰς ἡμᾶς* II 3,5,3 *τὸ δὲ εἰς πλῆθος κτλ* II 8,1,28 *ὁ ἔρως τοῦ εἰς ἕν* III 2, 17,5 cf. *τὸ μὲν γὰρ εἰς ἓν πάντα ἀρχή* III 3,7,9 cf. *ἐν ἑνὶ ὄντες εἰς ἕν* IV 4,40,16 cf. *ὁ .. εἰς ἓν οὗτος* (sc. *λόγος*,q.v.,c) V 8,2,19. VI 1,6,2 cf. *εἰς ἓν ὡς μίαν κατηγορίαν* VI 1,10,40; 30,11 cf. *ποικίλον ἓν τὰ πολλὰ εἰς ἓν ἔχον* VI 2,2,3. VI 3,3,25 (v. *οὐσία*,a).30; 8,9 cf. *τί δὲ καὶ ἐμπόδιον τοῦ εἰς ἕν*; VI 5,10,47. VI 6,16,53 (v. *ἀρετή*,k) cf. *οὐ συγκεχυμένων, καίτοι εἰς ἓν ὄντων* VI 7,14,19 *οὐδέν εἰς αὐτό* (sc. *τὸ ὄντως ὄν*) III 6,6,20; 7,28 (v. *εἴδωλον*,b) *καὶ τῷ παντὶ δεῖ* (sc. *τὸ εἶναι*), *εἰς ὅπερ οὕτως ἔσται* III 7,4, 28 *χείρω δὲ εἰς ὅ* III 8,8,38 cf. 39.40 IV 3,10, 32 (v. *ψυχή*,a).33.36; 11,20 (v. *ἑρμηνευτικός*) *οὐδὲν γὰρ εἰς αὐτοὺς* (sc. *θεὸν καὶ νοῦν*) *οὐδὲ χρόνος* IV 3,25,14 IV 4,26,3 (v. *συναφής*); 33, 3 (v. *συντάττειν*,a) V 3,9,23 VI 1,12,17 (ellipse e.g. of *ἀνάγειν*) cf. VI 3,3,32 *πάθος* (q.v.,a) .. *τοῦ εἰς ὄν* VI 1,19,45; 22,24 (v. *ποιεῖν*,b1) *ἓν εἰς πάντα* VI 2,3,24 *τὸ ἀφ' οὗ καὶ τὸ εἰς ὅ* (sc. *τὸ ἕν*) VI 2,11,26 *τῶν εἰς τὰ πρῶτα* VI 2,13,19 *τὸ μετ' αὐτὸ περὶ ἐκεῖνο καὶ εἰς ἐκεῖνο* VI 5,4,18; 10,38 (v. *σωματικός*) *ἐξ οὗ γάρ, καὶ εἰς ὃ ζῇ* (sc. *τὸ ζῷον αὐτό, ἐστι*) VI 6,18,19 VI 7,23,18 (v. *τὸ ἀγαθόν*); 32,22 (v. *εἰς ἀεί*) VI 8,12,16 (v. *οὐσία*,b) *πρὸς αὐτὸν καὶ εἰς αὐτόν* (sc. *ὁ θεός*) VI 8,17,26

e) Instances where the notions of purpose or result are strong: *ὅσα οὐ δεῖται σώματος εἰς ἐνέργειαν* I 1,9,17 (v. *δεῖσθαι* for similar phrases) *χρωμένη .. εἰς διάκρισιν* I 3,4,13 cf. with nouns *εἰς χρῆσιν* I 3,6,13 *εἰς ἐλάττωσιν* I 6,9,19 *εἰς ἀνάμνησιν* I 8,15,28 II 1,7,42 (v. *ζέσις*) II 3,13,26 (v. *ἀρχή*,A2g) *εἰς ἐπισκότησιν* II 9,10,30 *εἰς σαφήνειαν* III 2,18,6 *εἰς δήλωσιν* III 7,6,24 cf. V 5,6,34 *εἰς μέτρησιν* III 7,9,40 *εἰς ἐπίσκεψιν* III 8,6,29 III 9,2,6 (v. *ἄριστος*,a) *εἰς μίμησιν* IV 3,11,9 *εἰς κιθάρισιν κτλ* IV 4,12,8.9; 31,7 (v. *φυσικός*) *τελειοῦται εἰς οὐσίαν* V 1,7,16 cf. *οὐδὲν εἰς οὐσίαν προσλαμβανούσης* VI 1,22,8. VI 2,17,22 (v. *γένος*,b) cf. *ὑπόστασιν γεννήσασα εἰς οὐσίαν* VI 7,40,19 *εἰς ἔφεσιν σύμφυτον* V 5,12,11 (v. *τὸ ἀγαθόν*) *εἰς ἐπιστήμην* V 9,11,23 *εἰς μίαν ζωήν* VI 5,9,12 *εἰς πείθω* VI 5,11,7 *εἰς ἔνδειξιν* VI 7,1,30 *εἰς παράδειγμα λαβεῖν* VI 7,14,3 *εἰς ἐπίνοιαν* (q.v.) VI 8,13,3 *εἰς τὸ ἀρίστῃ εἶναι* I 4,3,31 cf. for *τὸ* c. infin. II 1,8,9 II 3,13,46 III 1,7,7 IV 3,10,20 IV 4,12,46 IV 6,3,31 IV 7,12,12 IV 8,2,34 V 8,4,27 V 9,3,32 VI 5,9,4 VI 7,11,68 VI 8,21,22 (v. *ἀναγωγή*) *οὐδὲν οὐδὲ τῶν πάντων δεόμενος εἰς αὐτόν* 25

f) *in regard to, in reference to*: *ὑβρισθῆναι εἰς σῶμα* III 2,13,12 *ἃ .. τὸ ἐναντίον εἰς οὐσίαν ἔχει* III 6,6,75 cf. VI 1,2,10 (v. *τὸ ἴσον*); 25,19 *οὐ βλάπτεται εἰς τὸ εἶναι* III 6,11,39 *εἰς οἰκείωσιν* (q.v.) III 6,13,26 *πρώτη .. εἰς χρόνον* III 7,13,45 cf. *πρῶτον εἰς οὐσίαν* VI 8,12,17 *εἰς θέαν ἐναργεστέρα* III 8,4,28.31 (v. *ἀσθενεῖν*) *εἰς τὰ ἄλλα σύμπαντα* IV 3,12,18 cf. IV 7,15,10 *εἰς αὐτάρκειαν* (q.v.) IV 3,18, 4; 24,15 (v. *ἀκούσιος*) *ἵνα εἰς πλείω ἀπορῇ* IV 4,10,19 *εἰς τὸ πρόσθεν* IV 5,7,2 *εἰς τὸ ἰδεῖν* IV 5,8,2 (v. *κωλύειν*) *εἰς ποικιλίαν* IV 7,6,30 (v. *αἴσθημα*) *εἰς ἀιδιότητα κτλ* V 4,1,33 (v. *ἀρχή*,A2a) V 8,8,8 (v. *σημαίνειν*) VI 1,16, 25 (v. *ἄπειρος*,m) VI 2,3,8 (v. *γένος*,b)

g) after nouns or nouns with *ἔχειν*: II 3,17, 10 (v. *ἀναφορά*,b) *τὸ εἰς αὐτὴν .. φάντασμα* (q.v.) III 6,5,2 cf. *φωτὶ τῷ ἑαυτοῦ εἰς τὰ ὄντα* VI 7,16,30; 17,37 IV 6,3,29 (v. *μελέτη*) VI 5,10,36 (v. *δόσις*) VI 6,7,12 (v. *ἔρως*); 18,35 (v. *προσποίησις*) *ὁ νοῦν ἔχων εἰς ἀγαθοῦ μοῖραν* ('intent on sharing') VI 7,29,13 *ἀρχὴν εἰς ἄλλο ἔχει* VI 8,2,22

— Also after *ἀδικία, δύναμις, ἐνέργεια, ἐπίδοσις, ἐπίθεσις, εὐεργεσία, κίνησις, μεταβολή, ὁδός, ποίησις*

h) after adjectives: *τέλεος .. εἰς ἀρετῆς ἄκρον* III 2,14,19 *οἰκείας εἰς πίστιν ἀρχάς* VI 5,2,8 *εἰς τὸ φρονεῖν ἀσθενής* VI 5,10,20 Also after *αὐταρκής ἀχρεῖος, εὐάγωγος, εὐερέθιστος, εὐκίνητος, κύριος, προπετής, συνεργός, χρήσιμος*

i) for *εἰς* after verbs v. *ἀκτέον, ἀναβλέπειν, ἀνάγειν, ἀναρτᾶσθαι, ἀριθμεῖν, ἀρκεῖν, ἄρχειν* B, *ἀπόλλυσθαι, αὐξάνειν, ἀφικνεῖσθαι, ἀφορᾶν, βλέπειν, βρίθειν, γίνεσθαι, δεῖν, δεῖσθαι, δέχεσθαι, διαιρεῖν, δρᾶν, δουλεύειν, δύνασθαι, ἐγείρεσθαι, εἴρειν, εἰσιέναι εἰσφέρειν, ἐλαττοῦσθαι, ἐμπίπτειν, ἐμφαντάζεσθαι, ἐνεργεῖν, ἐξελίττειν, ἐπερείδεσθαι, ἐπιστρέφειν, ἐργάζεσθαι, ἔρχεσθαι, ἑτοιμάζεσθαι, ἥκειν, ἡττᾶσθαι, θυμοῦσθαι, ἵστασθαι, καταναλίσκειν, καταφέρειν, καταχρᾶσθαι, κατελθεῖν, κινεῖν, λαμβάνειν, λήγειν, ληπτέον, μερίζειν, μεταβαίνειν, μεταβάλλειν, μεταπίπτειν, μίγνυσθαι, νεύειν, νοεῖν (*εἰς αὐτὸ νοοῦν* V 3,13,21), *οἰκοδομεῖν, ὁρᾶν, παρεῖναι, παρελθεῖν, πίπτειν, ποιεῖν, ῥεῖν, στρέφεσθαι, συμπλέκειν, συνάγειν, σῴζεσθαι, τάττειν, φεύγειν, φθάνειν, φθέγγεσθαι, φθείρεσθαι, χεῖν*

εἷς* *one* a) *τὸ ἕν, ἓν* applied to *τὸ πρῶτον*. b) in connection with *νοῦς, αἰών, νοητά, οὐσία, ὄντα, ἀριθμός*, etc. c) as applied to *ψυχή*. d) miscellaneous instances.

a) *τὸ ἕν, ἓν*, exceptionally, *εἷς*, applied to *τὸ πρῶτον* or employed in discussions of it: *ἐκ τῆς τοῦ ἑνὸς ἀπειρίας* (q.v.,B) *κτλ* II 4,15,19 *οὐδὲν ἔχον ἐν ἑαυτῷ* (sc. *τὸ ἀγαθόν*), *ἀλλὰ ἕν*

τι, καὶ τοῦ ἑνὸς λεγομένου ἡ φύσις ἡ αὐτή — καὶ γὰρ αὖτη οὐκ ἄλλο, εἶτα ἕν, οὐδὲ τούτου ἄλλο, εἶτα ἀγαθόν — ὅταν λέγωμεν τὸ ἕν, καὶ ὅταν λέγωμεν τἀγαθόν, τὴν αὐτὴν (τὴν αὐτὴν cj. Heigl, H-S²: ταύτην MSS) δεῖ νομίζειν τὴν φύσιν καὶ μίαν λέγειν II 9,1,3-5 ἡ τοιαύτη φύσις (sc. νοῦς) . . περὶ τὸ ἓν καὶ ἀπ' ἐκείνου καὶ πρὸς ἐκεῖνο, κτλ III 7,6,2 cf. 7 III 8,9,4 (v. ἀριθμός,a) εἰ δέ τις οἴοιτο αὐτὸ τὸ ἓν καὶ τὰ πάντα εἶναι, ἤτοι καθ' ἓν ἕκαστον τῶν πάντων ἐκεῖνο ἔσται ἢ ὁμοῦ πάντα, κτλ 45; 10,20 (v. ἀναγωγή) καὶ ἐφ' ἑκάστου μέν τι ἕν, εἰς δ ἀνάξεις, καὶ τόδε πᾶν εἰς ἓν τὸ πρὸ αὐτοῦ, οὐχ ἁπλῶς ἕν, ἕως τις ἐπὶ τὸ ἁπλῶς ἓν ἔλθῃ· . . ἀλλ' εἰ μὲν . . τὸ ψυχῆς ἓν καὶ τὸ τοῦ παντὸς ἓν λαμβάνοι, λαμβάνει ἑκασταχοῦ τὸ δυνατώτατον καὶ τὸ τίμιον· εἰ δὲ τὸ τῶν κατ' ἀλήθειαν ὄντων ἕν, τὴν ἀρχὴν καὶ πηγὴν καὶ δύναμιν, λαμβάνοι, ἀπιστήσομεν καὶ τὸ μηδὲν ὑπονοήσομεν; κτλ 21-27 III 9,4,1 (v. πανταχοῦ) δεῖ πρὸ πάντων ἓν εἶναι κτλ 7 τὸ δὲ ὑπέρτατον ἓν μόνον IV 2,2,55 εἴπερ οὖν δεῖ μὴ ἓν μόνον εἶναι κτλ IV 8,6,1.4 (v. ὄντα) V 1,1,24 (v. ἀκρότατος); 5,15 (v. ἀριθμός,a).17 (v. μορφοῦσθαι) πῶς ἐξ ἑνὸς τοιούτου ὄντος, οἷον λέγομεν τὸ ἓν εἶναι, ὑπόστασιν ἔσχεν ὁτιοῦν εἴτε πλῆθος εἴτε δυὰς εἴτε ἀριθμός, κτλ; V 1,6,4-5 ἢ καὶ ἐνταῦθα (sc. ἐν τῷ νῷ) ἓν μέν, ἀλλὰ τὸ ἓν δύναμις πάντων V 1,7,9 μόνον γὰρ ἓν ἐκεῖνο 20 ἓν δὲ λέγων (sc. Parmenides) . . αἰτίαν εἶχεν ὡς τοῦ ἑνὸς τούτου πολλὰ εὑρισκομένου. ὁ δὲ παρὰ Πλάτωνι Παρμενίδης . . διαιρεῖ ἀπ' ἀλλήλων τὸ πρῶτον ἕν, δ κυριώτερον ἕν, καὶ δεύτερον «ἓν πολλά» (cf. Plat. Parm. 144e) λέγων, καὶ τρίτον «ἓν καὶ πολλά» (cf. Plat. Parm. 155e) V 1,8,22-26; 9,2 (v. Ἀναξαγόρας).4 (v. Ἡράκλειτος).6 (v. Ἐμπεδοκλῆς) εὐλογώτερον γὰρ πάσας (sc. τὰς σφαίρας) . . πρὸς ἓν καὶ τὸ πρῶτον βλέπειν 14.15 (v. νοητός,b) cf. 17 ἔστι μὲν τὸ ἐπέκεινα ὄντος τὸ ἕν, κτλ V 1,10,2 τὸ ἓν πάντα (q.v.,d) καὶ οὐδὲ ἓν κτλ V 2,1,1 πῶς οὖν ἐξ ἁπλοῦ ἑνὸς κτλ; 3 ἓν γάρ τι καὶ τὸ γινώσκειν· τὸ δέ (sc. πρῶτον) ἐστιν ἄνευ τοῦ «τι» ἕν· εἰ γὰρ τί ἕν, οὐκ ἂν αὐτοέν· τὸ γὰρ «αὐτὸ» πρὸ τοῦ «τι» V 3,12,50-51; 15,3 (v. ἁπλοῦς,e) καίτοι καὶ τοῦτο ζητηθείη ἄν, πῶς ἐκ τοῦ πάντη ἑνός· κτλ 5 τί γὰρ ἂν τοῦ ἑνὸς βέλτιον ἢ ἐπέκεινα ὅλως; χεῖρον ἄρα 8 τί οὖν ἐνδεέστερον τοῦ ἑνός; ἢ τὸ μὴ ἓν· πολλὰ ἄρα. ἐφιέμενον δὲ ὅμως τοῦ ἑνός· ἓν ἄρα πολλά 10-11.12 (v. σῴζεσθαι, εἶναι,h) κἂν ἕκαστον ἔχῃ λέγειν τις ὅ ἐστι, τῷ ἓν ἕκαστον αὐτῶν εἶναι λέγει, καὶ τῷ αὐτῷ ἔστι (cj. H-S²: ἔτι MSS). τὸ δέ, δ μὴ πολλὰ ἔχον ἐν ἑαυτῷ ἤδη οὐ μετουσίᾳ ἑνὸς ἕν, ἀλλὰ αὐτὸ ἕν, κτλ 14-16 ἕκαστον τῶν ἐξ αὐτοῦ, ἕως ζωῆς μετέχει, ἓν πολλά· ἀδυνατεῖ γὰρ δεῖξαι αὐτὸ ἓν πάντα. αὐτὸ δὲ ἐκεῖνο ἓν πάντα, ὅτι μετὰ τὴν (μετὰ τὴν cj. Igal,H-S²: μεγάλην MSS) ἀρχήν· ἀρχὴ γὰρ ἓν ὄντως καὶ ἀληθῶς ἕν· τὸ δὲ μετὰ τὴν ἀρχὴν ὧδέ πως ἐπιβρίσαντος τοῦ ἑνὸς πάντα μετέχον τοῦ ἕν, καὶ ὁτιοῦν αὐτοῦ πάντα αὖ καὶ ἓν 22-26 εἴ τι ἐκ τοῦ ἑνός, ἄλλο δεῖ παρ' αὐτό· ἄλλο δὲ ὄν, οὐχ ἕν. τοῦτο γὰρ ἦν ἐκεῖνο. εἰ δὲ μὴ ἕν, δύο δέ, ἀνάγκη ἤδη καὶ πλῆθος εἶναι 37-39 καὶ ὅτι μὲν δὴ (v.l. δεῖ) μὴ ἓν τὸ ἐκείνου, δεδειγμένον ἂν εἴη· κτλ 41; 16,14 (v. ἁπλότης) ἕκαστον (sc. τῶν νοητῶν) [τοῦ αὐτοῦ ἑνός] μετείληφε καὶ μετέχει <τοῦ αὐτο>ενός (cj. H-S³), οὐκ αὐτὸ ἕν, τί οὖν τὸ οὗ μετέχει, κτλ V 3,17,9 τῇ ἑνὸς παρουσίᾳ 11 (v. πλῆθος,c) ὂν ὄντως ἕν, οὐχ ἕτερον ὄν, εἶτα ἕν, καθ' οὗ ψεῦδος καὶ τὸ ἓν εἶναι V 4,1,8-9 cf. 12 τὸ δὴ τοιοῦτον ἓν μόνον δεῖ εἶναι· ἄλλο γὰρ εἰ εἴη τοιοῦτον, ἓν ἂν εἴη τὰ ἄμφω 15-16.17 (v. σῶμα,a).19 (v. ἀρχή,A2a) πρὸ δὲ πάντων τὸ ἓν οὐ τὸ ἴσον ἔχον τοῖς πᾶσι V 4,2,41 δεῖ τὴν ἀναγωγὴν ποιήσασθαι εἰς ἓν καὶ ἀληθῶς ἕν, ἀλλὰ μὴ ὥσπερ τὰ ἄλλα ἕν, ἃ πολλὰ ὄντα μετοχῇ ἑνὸς ἕν — δεῖ δὲ τὸ μὴ μετοχῇ ἓν λαβεῖν μηδὲ τὸ οὗ μᾶλλον ἓν ἢ πολλά V 5,4,1-4 cf. 5-6.8.11 (v. δύο) οὐ γὰρ θέλει (sc. τὸ ὄντως ἕν) μετ' ἄλλου οὔτε ἑνὸς οὔτε ὁποσουοῦν συναριθμεῖσθαι, οὐδ' ὅλως ἀριθμεῖσθαι 12.21-23 (v. ἀριθμός,e) καὶ πῶς ἡ δυὰς ἕν; καὶ εἰ ταὐτὸ ἕν, ὅπερ ἐν ἑκατέρᾳ τῇ περιεχομένῃ (sc. μονάδι); ἢ μετέχειν τῆς πρώτης φατέον, ἄλλας δὲ ἧς μετέχουσι, κτλ 28.30 (v. δυάς); 5,3 (v. ἀριθμός, e) ἐν δὲ τῷ ὅ ἐστι πρὸ τῶν ὄντων μένει μὲν πολὺ μᾶλλον ἐνταῦθα τὸ ἕν· μένοντος δὲ αὐτοῦ οὐκ ἄλλο ποιεῖ. εἰ κατ' αὐτὸ τὰ ὄντα, ἀλλ' ἀρκεῖ αὐτὸ γεννῆσαι τὰ ὄντα 5 ἐνταῦθα δὲ [τὸ ἴχνος τοῦ ἑνὸς] τὴν οὐσίαν αὐτοῖς (sc. τοῖς νοητοῖς) ὑπεστήσατο, ὥστ' εἶναι τὸ εἶναι ἴχνος <τοῦ> (cj. Theiler,H-S²) ἑνός. καὶ τὸ εἶναι δὲ τοῦτο . . ἀπὸ τοῦ ἓν εἴ τις λέγοι γεγονέναι, τάχ' ἂν τύχοι τοῦ ἀληθοῦς 12-15 οἷον ἐν φθόγγῳ ἐναπερείσαντος (q.v.) αὐτὸν τοῦ φωνοῦντος ὑφίσταται τὸ ἓν δηλοῦν τὸ ἀπὸ τοῦ ἑνὸς καὶ τὸ ὂν σημαῖνον τὸ φθεγξάμενον, ὡς δύναται 20; 6,26 (v. ἄρσις) εἰ δὲ θέσις τις τὸ ἕν, τό τε ὄνομα τό τε δηλούμενον, ἀσαφέστερον ἂν γίνοιτο τοῦ εἰ μή τις ὄνομα ἔλεγεν αὐτοῦ· κτλ 29 ὅτι ἓν (sc. τὸ πρῶτον) V 5,10,13 τῷ μὴ πλέον ἑνὸς εἶναι V 5,11,1.2 (v. μετρεῖσθαι); 12,28 (v. βασιλεύς) πρότερον τὸ ἓν ἀμφοτέρων 31; 13,21 (v. τὸ ἀγαθόν) εἴη γὰρ ἂν ὑπὸ ἓν καὶ ταὐτὸν τοῖς ἅπασιν, κτλ 21 V 6,2,19 (v. νοεῖν,c) εἰ δὲ πολλὰ (sc. εἶναι) τὸ αὐτὸ οὐδὲν κωλύειν φήσουσιν, ἓν τούτοις ὑποκείμενον ἔσται· οὐ δύναται γὰρ πολλὰ μὴ ἑνὸς ὄντος, ἀφ' οὗ ἢ ἐν ᾧ, ἢ ὅλως ἑνὸς καὶ τούτου πρώτου τῶν ἄλλων ἀριθμουμένου, δ αὐτὸ ἐφ' ἑαυτοῦ δεῖ λαβεῖν μόνον V 6,3,1-3.16 (v. ἁπλοῦς,e) εἰ ἄρα πολλά τί ἐστι, δεῖ πρὸ τῶν πολλῶν ἓν εἶναι 21 ἔτι ὡς ἐν τοῖς δυσὶν ὄντος ἑνὸς καὶ ἄλλου οὐχ οἷόν τε τοῦτο τὸ ἓν τὸ μετ' ἄλλου τὸ ἓν εἶναι, ἀλλ' ἔδει ἓν ἐφ' ἑαυτοῦ πρὸ τοῦ μετ' ἄλλου εἶναι, οὕτω δεῖ καὶ ἐν ᾧ μετ' ἄλλου τὸ ἐνυπάρχον (scr. Harder,H-S²: ἓν ὑπάρχον MSS)

ἁπλοῦν, καθ' αὑτὸ τοῦτο ἁπλοῦν εἶναι, οὐκ ἔχον οὐδὲν ἐν ἑαυτῷ τῶν ὅσα ἐν τῷ μετ' ἄλλων V 6,4,6-7 ὃ δ' ἐστὶ πάντη ἕν, ποῦ χωρήσεται πρὸς αὐτό; V 6,5,2; 6,27-29 (v. δύο) οὐ γὰρ ἔχει παρ' ἑαυτῷ, ὃ μάθῃ, εἷς ὤν (sc. ὁ θεός) 32 V 9,2,27 (v. νοῦς,c) ἐπέκεινα γὰρ τὸ ἕν (v. γένος,b) VI 2,3,7 ὅλως δὲ ἴσως οὐδὲ τὸ ἓν φατέον αἴτιον τοῖς ἄλλοις εἶναι, ἀλλ' οἷον μέρη αὐτοῦ καὶ οἷον στοιχεῖα αὐτοῦ καὶ πάντα μίαν φύσιν μεριζομένην ταῖς ἡμῶν ἐπινοίαις, αὐτὸ δὲ εἶναι ὑπὸ δυνάμεως θαυμαστῆς ἓν εἰς πάντα καὶ φαινόμενον πολλὰ καὶ γινόμενον πολλά, οἷον ὅταν κινηθῇ· καὶ τὸ πολύνουν (cj. Igal,H-S²: πολύχνουν or πολύχουν MSS) τῆς φύσεως ποιεῖν τὸ ἓν μὴ ἓν εἶναι, ἡμᾶς τε οἷον μοίρας αὐτοῦ προφέροντας ταύτας ἓν ἕκαστον τίθεσθαι καὶ γένος λέγειν ἀγνοοῦντας ὅτι μὴ ὅλον ἅμα εἴδομεν 21-27 cf. διὸ πάλιν μεθίεμεν εἰς τὸ ὅλον καὶ ἐῶμεν ἓν γενέσθαι, μᾶλλον δὲ ἓν εἶναι 31-32 τὸ μὲν οὖν ἕν, εἰ μὲν τὸ πάντως ἕν, [ἐν] (del. Volkmann) ᾧ μηδὲν ἄλλο πρόσεστι, μὴ ψυχή, μὴ νοῦς, μὴ ὁτιοῦν, οὐδενὸς ἂν κατηγοροῖτο τοῦτο, ὥστε οὐδὲ γένος VI 2,9,6.8 cf. αὐτὸ τὸ ἓν πολλὰ ἔσται καὶ ἀπολεῖ ἑαυτό, εἰ ἐθέλοι γένος εἶναι 11 οὐ γὰρ ἂν εἶεν διαφοραὶ ἐν τῷ ἕν, ὥσπερ εἰσὶ τῆς οὐσίας 14.15 μετὰ τῆς διαφορᾶς δύο τιθεὶς ἀναιρεῖς τὸ ἕν 16 ὅτι παρ' ἑνὸς πάντα τοῦ ἐπέκεινα, ἄλλα δ' ἄλλως κατὰ φύσιν τὴν αὐτῶν μεταλαμβάνει VI 2,17, 17 τὸ μόνον καὶ ἓν καὶ ἁπλῶς VI 7,1,39 (v. τοῦτο,c); 8,18.20-21 (v. infra,b); 40,43 (v. νόησις, b) ὄντα (sc. τὸν ὄντως βασιλέα) ἕν, ὅπερ ἐστίν, ὥστε οὐ κατ' ἐκεῖνο (sc. τὸ ἀγαθὸν ἐνεργεῖ) VI 8,9,22; 12,35-36 ἀδιάστατος τοίνυν ἐκεῖνος, εἷς<εἷς> (add. Cilento) πάντα λόγος, εἷς ἀριθμὸς καὶ εἷς μείζων τοῦ γενομένου καὶ δυνατώτερος VI 8,17,22; 18,21-22 (v. κύκλος) οἷον γὰρ τὸ ἐν νῷ πολλαχῇ μεῖζον ἢ τοιοῦτον τὸ ἐν ἑνὶ ἐκείνῳ, κτλ 33; 21,5 (v. τὸ ἀγαθόν) VI 9,2,29 (v. πρῶτος,b1) οὐ τοίνυν οὐδὲ τὸ ἓν τὰ πάντα ἔσται, οὕτω γὰρ οὐκέτι ἓν εἴη· οὐδὲ νοῦς, καὶ γὰρ ἂν οὕτως εἴη τὰ πάντα τοῦ νοῦ τὰ πάντα ὄντος· οὐδὲ τὸ ὄν· τὸ γὰρ ὂν τὰ πάντα 44-45 τί ἂν οὖν εἴη τὸ ἓν καὶ τίνα φύσιν ἔχον; ἢ οὐδὲν θαυμαστὸν μὴ ῥᾴδιον εἰπεῖν εἶναι, ὅπου μηδὲ τὸ ὂν ῥᾴδιον μηδὲ τὸ εἶδος· ἀλλ' ἔστιν ἡμῖν γνῶσις εἴδεσιν ἐπερειδομένη VI 9, 3,1 καθ' ἑαυτὴν δὲ ἡ ψυχὴ ὅταν ἰδεῖν ἐθέλῃ, μόνον (cj. Kirchhoff: μόνην MSS) ὁρῶσα τῷ συνεῖναι καὶ ἓν οὖσα τῷ ἓν εἶναι αὐτῷ οὐκ οἴεταί πω ἔχειν ὃ ζητεῖ, ὅτι τοῦ νοουμένου μὴ ἕτερόν ἐστιν. ὅμως δὲ χρὴ οὕτως ποιεῖν τὸν μέλλοντα περὶ τὸ ἓν φιλοσοφήσειν. ἐπεὶ τοίνυν ἓν ἐστιν ὃ ζητοῦμεν, καὶ τὴν ἀρχὴν τῶν πάντων ἐπισκοποῦμεν, τἀγαθὸν καὶ τὸ πρῶτον, οὔτε πόρρω δεῖ γενέσθαι τῶν περὶ τὰ πρῶτα εἰς τὰ ἔσχατα τῶν πάντων πεσόντα, ἀλλ' ἰέμενον εἰς τὰ πρῶτα ἐπαναγαγεῖν ἑαυτὸν ἀπὸ τῶν αἰσθητῶν ἐσχάτων ὄντων, κακίας τε πάσης ἀπηλλαγμένον εἶναι ἅτε πρὸς τὸ ἀγαθὸν σπεύδοντα γενέσθαι, ἐπί τε τὴν ἐν ἑαυτῷ ἀρχὴν ἀναβεβηκέναι καὶ ἓν ἐκ πολλῶν γενέσθαι ἀρχῆς καὶ ἑνὸς θεατὴν ἐσόμενον 12-22.25 (v. νοῦς,c) ἐκεῖνο δὲ οὔ τι, ἀλλὰ πρὸ ἑκάστου, οὐδὲ ὄν· καὶ γὰρ τὸ ὂν οἷον μορφὴν τὴν τοῦ ὄντος ἔχει, ἄμορφον δὲ ἐκεῖνο καὶ μορφῆς νοητῆς. γεννητικὴ γὰρ ἡ τοῦ ἑνὸς φύσις οὖσα τῶν πάντων οὐδέν ἐστιν αὐτῶν. οὔτε οὖν τι οὔτε ποιὸν οὔτε ποσὸν οὔτε νοῦν οὔτε ψυχήν· οὐδὲ κινούμενον οὐ δ' αὖ ἑστώς, οὐκ ἐν τόπῳ, οὐκ ἐν χρόνῳ, ἀλλ' αὐτὸ (cj. Heintz: ἀλλὰ τὸ MSS) «καθ' αὑτὸ μονοειδές» (cf. Plat. Symp. 211b), μᾶλλον δὲ ἀνείδεον πρὸ εἴδους ὂν παντός, πρὸ κινήσεως, πρὸ στάσεως 40 ἐπεὶ καὶ τὸ αἴτιον λέγειν οὐ κατηγορεῖν ἐστι συμβεβηκός τι αὐτῷ, ἀλλ' ἡμῖν, ὅτι ἔχομέν τι παρ' αὐτοῦ ἐκείνου ὄντος ἐν αὐτῷ. δεῖ δὲ μηδὲ τὸ «ἐκείνου» μηδὲ «ὄντος» (cj. Page,H-S²: ὄντως MSS) λέγειν ἀκριβῶς λέγοντα, ἀλλ' ἡμᾶς οἷον ἔξωθεν περιθέοντας τὰ αὐτῶν ἑρμηνεύειν ἐθέλειν πάθη ὁτὲ μὲν ἐγγύς, ὁτὲ δὲ ἀποπίπτοντας ταῖς περὶ αὐτὸ ἀπορίαις. γίνεται δὲ ἡ ἀπορία μάλιστα, ὅτι μηδὲ κατ' ἐπιστήμην ἡ σύνεσις ἐκείνου μηδὲ κατὰ νόησιν, ὥσπερ τὰ ἄλλα νοητά, ἀλλὰ κατὰ παρουσίαν ἐπιστήμης κρείττονα. πάσχει δὲ ἡ ψυχὴ τοῦ ἓν εἶναι τὴν ἀπόστασιν καὶ οὐ πάντη ἐστὶν ἕν, ὅταν ἐπιστήμην του λαμβάνῃ· λόγος γὰρ ἡ ἐπιστήμη, πολλὰ δὲ ὁ λόγος. παρέρχεται οὖν τὸ ἓν εἰς ἀριθμὸν καὶ πλῆθος πεσοῦσα. ὑπὲρ ἐπιστήμην τοίνυν δεῖ δραμεῖν καὶ μηδαμῇ ἐκβαίνειν τοῦ ἓν εἶναι, ἀλλ' ἀποστῆναι δεῖ καὶ ἐπιστήμης καὶ ἐπιστητῶν καὶ παντὸς ἄλλου καὶ καλοῦ θεάματος VI 9,4,4-8 διὸ «οὐδὲ ῥητὸν» (cf. Plat. Epist. VII 341c) οὐδὲ γραπτόν, φησιν, ἀλλὰ λέγομεν καὶ γράφομεν πέμποντες εἰς αὐτὸ καὶ ἀνεγείροντες ἐκ τῶν λόγων ἐπὶ τὴν θέαν ὥσπερ ὁδὸν δεικνύντες τῷ τι θεάσασθαι βουλομένῳ. μέχρι γὰρ τῆς ὁδοῦ καὶ τῆς πορείας ἡ δίδαξις, ἡ δὲ θέα αὐτοῦ ἔργον ἤδη τοῦ ἰδεῖν βεβουλημένου. εἰ δὲ μὴ ἦλθέ τις ἐπὶ τὸ θέαμα, μηδὲ σύνεσιν ἔσχεν ἡ ψυχὴ τῆς ἐκεῖ ἀγλαΐας μηδὲ ἔπαθε μηδὲ ἔσχεν ἐν ἑαυτῷ οἷον ἐρωτικὸν πάθημα ἐκ τοῦ ἰδεῖν ἐραστοῦ ἐν ᾧ ὁρᾷ ἀναπαυσαμένου, δεξάμενος (cj. Kirchhoff: δεξάμενον MSS) φῶς ἀληθινὸν καὶ πᾶσαν τὴν ψυχὴν περιφωτίσαν (cj. Harder,H-S²: περιφωτίσας MSS) διὰ τὸ ἐγγυτέρω γεγονέναι, ἀναβεβηκὼς (cj. Müller: ἀναβεβηκέναι MSS) δὲ ἔτι ὀπισθοβαρὴς ὑπάρχων, ἃ ἐμπόδια ἦν τῇ θέᾳ, καὶ οὐ μόνος ἀναβεβηκώς, ἀλλ' ἔχων τὸ διεῖργον ἀπ' αὐτοῦ, ἢ μήπω εἰς ἓν συναχθείς — οὐ γὰρ δὴ ἄπεστιν οὐδενὸς ἐκεῖνο καὶ πάντων δέ, ὥστε παρὼν μὴ παρεῖναι ἀλλ' ἢ τοῖς δέχεσθαι δυναμένοις καὶ παρεσκευασμένοις, ὥστε ἐναρμόσαι καὶ οἷον ἐφάψασθαι καὶ θιγεῖν ὁμοιότητι καὶ τῇ ἐν αὐτῷ δυνάμει συγγενεῖ τῷ ἀπ' αὐτοῦ· ὅταν οὕτως ἔχῃ, ὡς εἶχεν, ὅτε ἦλθεν ἀπ' αὐτοῦ, ἤδη δύναται ἰδεῖν ὡς πέφυκεν ἐκεῖνος θεατὸς εἶναι — εἰ οὖν μήπω ἐστὶν ἐκεῖ, ἀλλὰ διὰ ταῦτά ἐστιν ἔξω, ἢ δι' ἔνδειαν τοῦ

παιδαγωγοῦντος λόγου καὶ πίστιν περὶ αὐτοῦ παρεχομένου, δι' ἐκεῖνα μὲν αὐτὸν ἐν αἰτίᾳ τιθέσθω, καὶ πειράσθω ἀποστὰς πάντων μόνος εἶναι 24 ὅστις οἴεται τὰ ὄντα τύχῃ καὶ τῷ αὐτομάτῳ διοικεῖσθαι καὶ σωματικαῖς συνέχεσθαι αἰτίαις, οὗτος πόρρω ἀπελήλαται καὶ θεοῦ καὶ ἐννοίας ἑνός, καὶ ὁ λόγος οὐ πρὸς τούτους, ἀλλὰ πρὸς τοὺς ἄλλην φύσιν παρὰ τὰ σώματα τιθεμένους καὶ ἀνιόντας ἐπὶ ψυχήν VI 9,5,3 οὐ μέντοι πρῶτον (sc. τὸ ὁμοῦ πλῆθος, i.e. ὁ νοητὸς κόσμος), ὅτι μὴ ἓν μηδὲ ἁπλοῦν· ἁπλοῦν δὲ τὸ ἓν καὶ ἡ πάντων ἀρχή. τὸ δὴ πρὸ τοῦ ἓν τοῖς οὖσι τιμιωτάτου, εἴπερ δεῖ τι πρὸ νοῦ εἶναι ἓν μὲν εἶναι βουλομένου, οὐκ ὄντος δὲ ἕν, ἐνοειδοῦς δέ, ὅτι αὐτῷ μηδὲ ἐσκέδασται ὁ νοῦς, ἀλλὰ σύνεστιν ἑαυτῷ ὄντως οὐ διαρτήσας ἑαυτὸν τῷ πλησίον μετὰ τὸ ἓν εἶναι, ἀποστῆναι δέ πως τοῦ ἑνὸς τολμήσας — τὸ δὴ πρὸ τούτου θαῦμα τοῦ ἕν, ᾧ ὄνομα μὲν κατὰ ἀλήθειαν οὐδὲν προσῆκον, εἴπερ δὲ δεῖ ὀνομάσαι, κοινῶς ἂν λεχθὲν προσηκόντως ἕν, οὐχ ὡς ἄλλο, εἶτα ἕν, χαλεπὸν μὲν γνωσθῆναι διὰ τοῦτο, γιγνωσκόμενον δὲ μᾶλλον τῷ ἀπ' αὐτοῦ γεννήματι, τῇ οὐσίᾳ — καὶ ἄγει εἰς οὐσίαν νοῦς — καὶ αὐτοῦ ἡ φύσις τοιαύτη, ὡς πηγὴν τῶν ἀρίστων εἶναι καὶ δύναμιν γεννῶσαν τὰ ὄντα μένουσαν ἐν ἑαυτῇ καὶ οὐκ ἐλαττουμένην οὐδὲ ἐν τοῖς γινομένοις ὑπ' αὐτῆς οὖσαν. ὅ τι καὶ πρὸ τούτων, ὀνομάζομεν ἓν ἐξ ἀνάγκης τῷ σημαίνειν ἀλλήλοις αὐτὴν τῷ ὀνόματι εἰς ἔννοιαν ἀμέριστον ἄγοντες καὶ τὴν ψυχὴν ἑνοῦν θέλοντες, οὐχ οὕτως ἓν λέγοντες καὶ ἀμερές, ὡς σημεῖον ἢ μονάδα λέγοντες· τὸ γὰρ οὕτως ἓν ποσοῦ ἀρχαί, ὃ οὐκ ἂν ὑπέστη μὴ προούσης οὐσίας καὶ τοῦ πρὸ οὐσίας· οὐκοῦν δεῖ ἐνταῦθα βάλλειν τὴν διάνοιαν. ἀλλὰ ταῦτα ὁμοίως αἰεὶ ἐκείνοις ἐν ἀναλογίαις τῷ ἁπλῷ καὶ τῇ φυγῇ τοῦ πλήθους καὶ τοῦ μερισμοῦ 23-42 πῶς οὖν λέγομεν ἕν, καὶ πῶς τῇ νοήσει ἐφαρμοστέον; ἢ πλειόνως τιθέμενον ἓν ἢ ὡς μονὰς καὶ σημεῖον ἐνίζεται· ἐνταῦθα μὲν γὰρ μέγεθος ἡ ψυχὴ ἀφελοῦσα καὶ ἀριθμοῦ πλῆθος καταλήγει εἰς τὸ σμικρότατον καὶ ἐπερείδεταί τινι ἀμερεῖ μέν, ἀλλὰ ὃ ἦν μεριστῷ καὶ ὅ ἐστιν ἐν ἄλλῳ· τὸ δὲ « οὔτε ἐν ἄλλῳ » (cf. Plat. Parm. 138a) οὔτε ἐν μεριστῷ οὔτε οὕτως ἀμερές, ὡς τὸ σμικρότατον· μέγιστον γὰρ ἁπάντων οὐ μεγέθει, ἀλλὰ δυνάμει, ὥστε καὶ τὸ ἀμέγεθες δυνάμει· ἐπεὶ καὶ τὰ μετ' αὐτὸ ὄντα ταῖς δυνάμεσιν ἀμέριστα καὶ ἀμερῆ, οὐ τοῖς ὄγκοις. ληπτέον δὲ καὶ ἄπειρον αὐτὸν οὐ τῷ ἀδιεξιτήτῳ .. ἀλλὰ τῷ ἀπεριλήπτῳ τῆς δυνάμεως. ὅταν γὰρ ἂν αὐτὸν νοήσῃς οἷον ἢ νοῦν ἢ θεόν, πλέον ἐστί· καὶ αὖ ὅταν αὐτὸν ἐνίσῃς τῇ διανοίᾳ, καὶ ἐνταῦθα πλέον ἐστιν ἢ ὅσον (cj. Gollwitzer: θεὸν MSS) ἂν αὐτὸν ἐφαντάσθης εἰς τὸ ἐνικώτερον τῆς σῆς νοήσεως εἶναι· ἐφ' ἑαυτοῦ γάρ ἐστιν οὐδενὸς αὐτῷ συμβεβηκότος. τῷ αὐτάρκει δ' ἂν τις καὶ τὸ ἓν αὐτοῦ ἐνθυμηθείη (cj. Gollwitzer: ἓν οὐ μὴ θείη MSS). δεῖ μὲν γὰρ ἱκανώτατον <ὂν> (add. Harder) ἁπάντων καὶ αὐταρκέστατον, καὶ ἀνενδεέστατον εἶναι· πᾶν δὲ πολὺ καὶ [μὴ ἓν] (del. Puelma,H-S²) ἐνδεὲς μὴ ἓν ἐκ πολλῶν γενόμενον. δεῖται οὖν αὐτοῦ ἡ οὐσία ἓν εἶναι. τὸ δὲ οὐ δεῖται ἑαυτοῦ. αὐτὸ γάρ ἐστι VI 9,6,1-19 εἴπερ οὖν δεῖ τι αὐταρκέστατον εἶναι, τὸ ἓν εἶναι δεῖ τοιοῦτον ὂν μόνον, οἷον μήτε πρὸς αὐτὸ μήτε πρὸς ἄλλο ἐνδεὲς εἶναι. οὐ γάρ τι ζητεῖ, ἵνα ᾖ, οὐδ' ἵνα εὖ ᾖ, οὐδὲ ἵνα ἐκεῖ ἱδρυθῇ. τοῖς μὲν γὰρ ἄλλοις αἴτιον ὂν οὐ παρ' ἄλλων ἔχει ὅ ἐστι, τό τε εὖ τί ἂν εἴη αὐτῷ ἔξω αὐτοῦ; ὥστε οὐ κατὰ συμβεβηκὸς αὐτῷ τὸ εὖ· αὐτὸ γάρ ἐστι. τόπος τε οὐδεὶς αὐτῷ· οὐ γὰρ δεῖται ἱδρύσεως ὥσπερ αὐτὸ φέρειν οὐ δυνάμενον 24 εἰ δὲ τὸ ἓν ἐνδεές του, ζητεῖ δηλονότι τὸ μὴ εἶναι ἕν· ὥστε ἐνδεὲς ἔσται τοῦ φθεροῦντος· πᾶν δὲ ὃ ἂν λέγηται ἐνδεές, τοῦ εὖ καὶ τοῦ σῴζοντός ἐστιν ἐνδεές. ὥστε τῷ ἑνὶ οὐδὲν ἀγαθόν ἐστιν 36-39 τὸ δὲ μόνον οὔτε γιγνώσκει, οὔτε τι ἔχει ὃ ἀγνοεῖ, ἓν δὲ ὂν συνὸν αὐτῷ οὐ δεῖται νοήσεως ἑαυτοῦ. ἐπεὶ οὐδὲ τὸ συνεῖναι δεῖ προσάπτειν, ἵνα τηρῇς τὸ ἕν, ἀλλὰ καὶ τὸ νοεῖν καὶ τὸ συνιέναι ἀφαιρεῖν καὶ ἑαυτοῦ νόησιν κτλ 49-51 κἀκείνου (sc. τοῦ ἑνός) γενόμενος (sc. ὁ ὁρῶν) ἓν ἐστιν ὥσπερ κέντρῳ κέντρον συνάψας. καὶ γὰρ ἐνταῦθα συνελθόντα ἓν ἐστι, τό τε δύο, ὅταν χωρίς. οὕτω καὶ ἡμεῖς νῦν λέγομεν (sc. τὸ ἕν) ἕτερον. διὸ καὶ δύσφραστον τὸ θέαμα· πῶς γὰρ ἂν ἀπαγγείλειέ τις ὡς ἕτερον οὐκ ἰδὼν ἐκεῖ ὅτε ἐθεᾶτο, ἕτερον, ἀλλὰ ἓν πρὸς ἑαυτόν; VI 9,10,16-21 cf. VI 9,11,5 (v. ὁρᾶν,c) cf. ἦν δὲ ἓν καὶ αὐτὸς διαφορὰν ἐν αὑτῷ οὐδεμίαν πρὸς ἑαυτὸν ἔχων οὔτε κατὰ ἄλλα 8 See also αὐτοέν

b) in connection with νοῦς, αἰών, νοητά, οὐσία, ὄντα, ἀριθμός, etc. and in discussions relative to them: I 1,8,5 (v. κοινός,b) ἡ δὲ (sc. δικαιοσύνη) ὅλως οἰκειοπραγία, κἂν ἑνὸς ᾖ. ἡ γοῦν ἀληθὴς αὐτοδικαιοσύνη ἑνὸς (sc. τοῦ νοῦ) πρὸς αὐτό, ἐν ᾧ οὐκ ἄλλο, τὸ δὲ ἄλλο I 2,6,22 II 4,4,15 (v. πολύς,c) τὸ γὰρ ἓν τοῦτο [τὸ ποικίλον] (del. Vitringa,H-S²) κτλ 16 cf. εἰ δ', ὅτι ἀεὶ ἔχει ταῦτα (sc. τὰ νοήματα κτλ) καὶ ὁμοῦ, ἐν ἅμφω κτλ II 4,5,1 ἐκεῖ .. ἓν πάντα II 6,1,8 ἐν ἑνὶ ζῶσα III 2,1,31 (v. ζωή,c) πανταχοῦ ὂν ἕν 35; 2,2 (v. κόσμος,b) ἦκων τοίνυν οὗτος ὁ λόγος ἐκ νοῦ ἑνὸς καὶ ζωῆς μιᾶς πλήρους ὄντος ἑκατέρου οὐκ ἔστιν οὔτε ζωὴ μία οὔτε νοῦς τις εἰς κτλ III 2,16, 29-30 III 3,3,22 (v. νοῦς,a) τὸ μὲν γὰρ εἰς ἓν πάντα ἀρχή, ἐν ᾗ ὁμοῦ πάντα καὶ ὅλον πάντα III 3,7,9 cf. III 6,6,23 III 7,2,32 (v. αἰών).33 (v. στάσις) τὸ μένειν ἐν ἑνί 35 (v. αἰών) ἐκείνην (sc. τὴν φύσιν) μίαν μὲν οὖσαν, πολλὰ δὲ δυναμένην καὶ πολλὰ οὖσαν III 7,3,7 ᾗ ταῦτα ὁμοῦ ἕν 11; 6,6-7 (v. αἰών) ζωὴν .. ἐν ἑνὶ καὶ πρὸς ἓν ἑστῶσαν III 7,11,4.53 (v. ἀδιάστατος) τί δ' ἂν ἄλλο καὶ ἄλλο πάντων ἐν ἑνὶ μεινάντων; III 7,12,12 III 8,8,6 (v. οἰκείωσις).

10.29 (v. *θεωρία*) *ἓν οὖν ὂν τὰ δύο πῶς αὖ πολλὰ τοῦτο τὸ ἕν; ἢ ὅτι οὐχ ἓν θεωρεῖ, κτλ* (v. *νοῦς*,a) 30-31 *ἀλλὰ ἀρξάμενος ὡς ἓν οὐχ ὡς ἦρξατο ἔμεινεν* 32.41 (v. *νοῦς*,a) *πλῆθος ἑνὸς ὕστερον* III 8,9,3.4 (v. *ἀριθμός*,a) *ἓν εἶναι ἄμφω κτλ* III 9,1,12 IV 3,5,7 (v. *νοῦς*,a); 8,24 (v. *νοητός*,b) cf. 28 (v. *εἶναι*,i) IV 4,1,25 (v. *νοῦς*,a) *ἀλλ' ὅταν εἰς ἓν βλέπῃ* (sc. *ἡ ψυχή*), *εἶτα πολλὰ καὶ πάντα ἔχῃ, πῶς τὸ μὲν πρῶτον ἔσχε, τὸ δὲ ἐφεξῆς; ἢ ἡ δύναμις ἡ μία οὕτως ἦν μία, ὡς πολλὰ ἐν ἄλλῳ, καὶ κτλ* (v. *νόησις*,f) 32-34.35 (v. *ἐνέργεια*,d) *ἤδη γὰρ ἐκεῖνο* (sc. *τὸ νοητόν*) *ὡς μὴ ἓν ὂν δυνηθῆναι τὴν τῶν πολλῶν ἐν αὑτῷ φύσιν δέξασθαι πρότερον οὐκ ὄντων* 37; 7,6 (v. *ἀεί*); 9,13 (v. *εἰδέναι*,b) IV 8,3, 10 (v. *νοῦς*,a) V 1,4,31 (v. *νοεῖν*,a).38 (v. *ἑτερότης*) *ταὐτὸν δέ, ἐπεὶ ἓν ἑαυτῷ, καὶ κοινὸν δέ τι ἓν πᾶσι* (sc. *τοῖς νοητοῖς*) 40; 5,7 (v. *δυάς*). 19 (v. *ὅρασις*); 7,9 (v. supra,a).15 (v. *μέρος*,b) V 3,5,42 (v. *ἐνέργεια*,d) *εἰς ἓν πάντα συνάγοντες* (sc. *ἐν νοῦ φύσει ὄντες*) V 3,6,13; 10, 14 (v. *ὅρασις*) *οὐδὲ γὰρ ἔχει τὸ ἓν πάντῃ* (*ἓν πάντῃ* cj. Kirchhoff: *ἐν παντὶ* MSS) *εἰς τί ἐνεργήσει, ἀλλὰ « μόνον καὶ ἔρημον »* (cf. Plat. Phileb. 63b) 16 *δεῖται* (i.e. *δεῖ*) *δὲ πρὸ τοῦ πολλοῦ τὸ ἓν εἶναι, ἀφ' οὗ καὶ τὸ πολύ. ἐπ' ἀριθμοῦ γὰρ παντὸς τὸ ἓν πρῶτον* V 3,12,9-10 *ἐπὶ δὲ τῶν ὄντων τίς ἀνάγκη ἤδη καὶ ἐνταῦθα ἕν τι εἶναι, ἀφ' οὗ τὰ πολλά;* 12.15 (v. *ἁπλοῦς*,d) V 4,1,21 (v. *ἁπλοῦς*,d); 2,8 (v. *δυάς*).48 (v. *νοῦς*, a) V 5,1,42 (v. *νοητός*,a); 2,23 (v. *ἐλέγχειν*); 4, 5-6 (v. *κόσμος*,c); 8,21 (v. *νοῦς*,c) *ἄμφω οὖν γίνεται ἓν ὄν* V 6,1,5 cf. 7.11.12 (v. *νοεῖν*,a) *τοῦ ἐν ἑνὶ μένοντος* (sc. *κάλλους*) V 8,1,27 (v. *ὕλη*,c1a) cf. *ὁ . . εἰς ἓν οὗτος* V 8,2,19 (v. *λόγος*, c) *ὅλην ἕν τι* (sc. *σοφίαν*), *οὐ τὴν συγκειμένην ἐκ πολλῶν εἰς ἕν, ἀλλὰ μᾶλλον ἀναλυομένην εἰς πλῆθος ἐξ ἑνός* V 8,5,6-8; 9,16-17 (v. *θεός*, b).17-18 (v. *δύναμις*,Bb) *μᾶλλον δὲ ὁ εἷς* (sc. *θεός*) *πάντες* 18; 10,18 (v. *θέος*,b) *εἰς ἓν αὐτῷ ἐλθὼν καὶ μηκέτι σχίσας ἓν ὁμοῦ πάντα ἐστὶ μετ' ἐκείνου τοῦ θεοῦ* (sc. *τοῦ νοῦ*) *ἀφοφητὶ παρόντος, κτλ* V 8,11,4-5 cf. 12.33 (v. *συνετός*) V 9,6,2 (v. *νοῦς*,a); 9,1 (v. *νοῦς*,a).3 (v. *ἐπιθεωρεῖν*); 14,3 (v. *ἀρχή*,A2b).4 (v. *πλῆθος*,d) cf. 13 *τὸ ἄογκον καὶ τὸ ἕν* (sc. *ἐχρῆν προτάττειν*), *καὶ ἐκ τοῦ ἑνὸς ἀρξαμένους εἰς τὰ πολλὰ τελευτᾶν, καὶ ἐξ ἀμεγέθους εἰς μεγέθη, εἴ γε οὐκ ἔστι πολλὰ εἶναι μὴ ἑνὸς ὄντος, οὐδὲ μέγεθος μὴ ἀμεγέθους· εἴ γε τὸ μέγεθος ἓν οὐ τῷ αὐτὸ ἕν, ἀλλὰ τῷ μετέχειν τοῦ ἓν καὶ κατὰ σύμβασιν. δεῖ τοίνυν εἶναι τὸ πρώτως καὶ κυρίως πρὸ τοῦ κατὰ σύμβασιν· ἢ πῶς ἡ σύμβασις; καὶ ζητεῖν, τίς ὁ τρόπος τῆς συμβάσεως· τάχα γὰρ ἂν εὗρον τὸ μὴ κατὰ συμβεβηκὸς ἕν. λέγω δὲ κατὰ συμβεβηκός, ὃ τῷ* (scr. Theiler: *ὅτῳ* MSS) *μὴ αὐτὸ ἕν, ἀλλὰ παρ' ἄλλου* VI 1,26,29-37 *χρὴ . . λαβεῖν τινα νοητὴν ὑπόστασιν καὶ ὡς ἀληθῶς ὂν καὶ μᾶλλον ἕν. ἐν ᾧ καὶ τὸ θαῦμα πῶς πολλὰ καὶ ἓν τὸ οὕτως ἕν. ἐπὶ μὲν γὰρ τῶν σωμάτων συγκεχώρηται τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι* VI 2,4,17-19 *καὶ γὰρ εἰ ἕν* (sc. *οὐσία καὶ κίνησις*), *χωρίζει* (sc. Plato) *αὐτὰ τῇ νοήσει ὁ* (cj. H-S: *τὸ* MSS) *ἓν οὐχ ἓν εὑρών· ἢ οὐκ ἂν ἠδυνήθη* (cj. Igal,H-S^2: *δυνηθῇ* MSS) *χωρίσαι* VI 2,7,7-8 *οἷον καὶ ἐπὶ τοῦ « ἑνὸς ὄντος »* (cf. Plat. Parm. 142a) *ἑκάτερον χωρὶς εἶχε θάτερον, ἀλλ' ὅμως ἡ διάνοια δύο φησὶ καὶ εἶδος ἑκάτερον διπλοῦν ἓν* 22-24 *ὡς δύο ἄμφω ἐλέγομεν* (sc. *κίνησιν καὶ οὐσίαν*) *καὶ αὖ ἕν* 38 *τρία τιθεὶς καὶ ἓν ἕκαστον* (sc. *οὐσίαν, κίνησιν, στάσιν*), *πάλιν δὲ ταῦτα εἰς ἓν καὶ ἐν ἑνὶ καὶ πάντα ἕν, κτλ* VI 2,8,36-37 *διὰ τί γὰρ οὐ τὸ ἕν* (sc. *γένος ἐστί*); VI 2,9,4.6 (v. supra,a) *εἰ δὲ τὸ προσὸν τῷ ὄντι* (sc. *λέγομεν*), *ἐφ' οὗ τὸ ἓν ὂν λέγομεν, οὐ πρώτως ἓν τοῦτο* 8-9 *εἰ δέ τις λέγοι τὸ ἐπὶ τῷ ὄντι ἓν καὶ τὸ ἐπὶ κινήσει ἓν καὶ τοῖς ἄλλοις κοινὸν εἶναι, εἰς μὲν ταὐτὸν ἄγων τὸ ὂν καὶ τὸ ἕν, ἐν ᾧ λόγῳ, τὸ ὂν οὐκ ἐποίει τῶν ἄλλων γένος, ὅτι μὴ ὅπερ ὄντα, ἀλλ' ἕτερον τρόπον ὄντα, οὕτως οὐδὲ τὸ ἓν κοινὸν ἐπ' αὐτῶν ἔσται, ἀλλὰ τὸ μὲν πρώτως, τὰ* (v.l. *τὸ*) *δὲ ἄλλως* 18-21 *εἰ δὲ μὴ πάντων λέγοι ποιεῖν* (sc. *γένος τὸ ἕν*), *ἀλλά ἓν τι ἐφ' αὑτοῦ, ὥσπερ τὰ ἄλλα, εἰ μὲν ταὐτὸν αὐτῷ τὸ ὂν καὶ τὸ ἕν, ἤδη τοῦ ὄντος ἠριθμημένου ἐν τοῖς γένεσιν ὄνομα εἰσάγει. εἰ δὲ ἓν ἑκάτερον, τινὰ φύσιν λέγει, καὶ εἰ μὲν προστίθησί <« τι »>* (add. Bouillet), *τι ἓν λέγει, εἰ δὲ μηδέν, ἐκεῖνο, ὃ οὐδενὸς κατηγορεῖται, πάλιν αὖ λέγει· εἰ δὲ τὸ τῷ ὄντι συνόν, εἴπομεν μὲν ὅτι οὐ πρώτως ἓν λέγει. ἀλλὰ τί κωλύει πρώτως εἶναι τοῦτο ἐξῃρημένου ἐκείνου τοῦ παντελῶς ἕν; καὶ γὰρ τὸ ὂν μετ' ἐκεῖνο λέγομεν ὂν καὶ ὂν πρώτως ὄν. ἢ ὅτι οὐκ ἦν τὸ πρὸ αὐτοῦ ὂν ἤ, εἴπερ ἦν, οὐκ ἂν ἦν πρώτως* (sc. *ὄν*)· *τούτου δὲ τὸ πρὸ αὐτοῦ ἕν* 23-33.39-42 (v. *ὄν*,j) *πῶς οὖν ἕκαστον τοῦ ὄντος ἕν; ἢ τῷ τι ἓν οὐχ ἕν — πολλὰ γὰρ ἤδη τῷ τι ἕν — ἀλλ' ὁμωνύμως ἓν ἕκαστον τῶν εἰδῶν· τὸ γὰρ εἶδος πλῆθος, ὥστε ἓν ἐνταῦθα ὡς στρατὸς ἢ χορός. οὐ τοίνυν τὸ ἐκεῖ ἓν ἐν τούτοις, ὥστε οὐ κοινὸν τὸ ἓν οὐδ' ἐθεωρεῖτο* (scr. H-S: *οὐδὲ θεωρεῖ τὸ* MSS) *ἐν τῷ ὄντι καὶ τοῖς τι οὖσι τὸ αὐτό. ὥστε οὐ γένος τὸ ἕν* VI 2,10,1-6.7.8. 11-14 (v. *γένος*,b) *ἔτι τὸ ἓν ἀριθμῷ ἕν· εἰ γὰρ γένει ἕν, οὐ κυρίως ἕν. ἔτι ὥσπερ ἐν τοῖς ἀριθμοῖς τὸ ἓν οὐχ ὡς γένος κατ' αὐτῶν, ἀλλ' ἐνυπάρχειν μὲν λέγεται, οὐ γένος δὲ λέγεται, οὕτως οὐδ' εἰ ἐν τοῖς οὖσι τὸ ἕν, γένος ἂν εἴη οὔτε τοῦ ὄντος οὔτε τῶν ἄλλων οὔτε τῶν πάντων* 15-18 *οὕτω καὶ ἐπὶ τοὺ ἑνός, εἰ τὸ ἓν ἀρχή, οὐκ ἔσται τῶν μετ' αὐτὸ γένος* 22 *ἀλλ' εἴπερ ἔσται* (sc. *γένος τὸ ἕν*), *τῶν « ἓν » ἑκάστων* (sc. *γένος ἔσται*), *οἷον εἴ τις ἀξιώσειε χωρίσαι ἀπὸ τῆς οὐσίας τὸ ἕν. τινῶν οὖν ἔσται. ὥσπερ γὰρ τὸ ὂν οὐ πάντων γένος, ἀλλὰ τῶν « ὄν » εἰδῶν, οὕτω καὶ τὸ ἓν τῶν « ἕν » ἑκάστων εἰδῶν. τίς οὖν διαφορὰ ἄλλου πρὸς ἄλλο καθὸ ἕν, κτλ*; 24-28 *ἀλλ' εἰ συμμερίζεται* (sc. *τὸ ἕν*)

ἰδέτω . . τούτων τὸν « ἀκήρατον » (cf. Plat. Crat. 396b) νοῦν προστάτην, κτλ V 1,4,8.10 (v. Κρόνος).11 ὁ δὲ ν. πάντα 21 ἕκαστον δὲ αὐτῶν ν. καὶ ὂν ἐστι καὶ τὸ σύμπαν πᾶς ν. καὶ πᾶν ὄν, ὁ μὲν ν. κατὰ τὸ νοεῖν ὑφιστὰς τὸ ὄν, τὸ δὲ ὂν τῷ νοεῖσθαι τῷ νῷ διδὸν τὸ νοεῖν καὶ τὸ εἶναι 26-27.32 (v. νοεῖν,a).35 (v. πρῶτος, c); 5,14 (v. δυάς); 7,7.11 (v. δύναμις,Bc) γενεᾶς (q.v.) ὁ ν. οὗτος ἀξίας (cj. Igal, H-S²: ἄξιος MSS) νοῦ . . φῦναι, γενόμενον δὲ ἤδη τὰ ὄντα πάντα σὺν αὐτῷ γεννῆσαι, κτλ 27.35 νοῦ δὲ γέννημα λόγος τις καὶ ὑπόστασις, τὸ διανοούμενον· τοῦτο δ' ἐστὶ τὸ περὶ νοῦν κινούμενον καὶ νοῦ φῶς καὶ ἴχνος ἐξηρτημένον ἐκείνου, κτλ 42-43; 8,5 (v. πατήρ,b) δημιουργὸς γὰρ ὁ νοῦς αὐτῷ (sc. Plato,Tim. 34b sqq. and 41d) 5 αἰτίου δὲ νοῦ ὄντος πατέρα φησὶ τἀγαθὸν καὶ τὸ ἐπέκεινα νοῦ . . πολλαχοῦ δὲ τὸ ὂν καὶ τὸν νοῦν τὴν ἰδέαν λέγει 7-8.10.16; 9,1 (v. Ἀναξαγόρας); 10,4 (v. ὄν,j) ν. δὲ ὁ μὲν λογιζόμενος, ὁ δὲ λογίζεσθαι παρέχων 12; 11, 6 (v. λογίζεσθαι,a); 12,4 (v. ἐνέργεια,d) ἀλλὰ μηδὲ νοῦ τῇ φύσει διδόναι (sc. τὸ αὐτὸν ἑαυτὸν νοεῖν) παντάπασιν ἄτοπον, κτλ V 3,1,17.20 (v. τὰ ἔξω) εἰ (cj. Igal,H-S²: ὁ MSS) δὲ ν. τούτων γνῶσιν ἔχει ἢ μή, σκέψασθαι προσήκει 21.22 (v. γιγνώσκειν,a); 2,9 (v. τύπος,a) εἰ γὰρ μηδεμία (sc. διαφορά), ἤδη τοῦτο ν. ὁ ἄκρατος 22 νῷ δὲ ἀξιοῦμεν ὑπάρχειν τὰ αὐτοῦ καὶ τὰ ἐν αὐτῷ σκοπεῖσθαι V 3,3,17.21 ἡμέτερον δὲ νοῦν (sc. τὸν καθαρόν) φήσομεν, ἄλλον μὲν ὄντα τοῦ διανοουμένου καὶ ἐπάνω βεβηκότα, ὅμως δὲ ἡμέτερον, κτλ 24 οὐ γὰρ ν. ἡμεῖς 31 (v. ἡμεῖς,b) διὰ <νοῦ> νοοῦμεν (cj. Igal,H-S²: διανοοῦμεν MSS) οὕτως; 34.36 (v. ἐνέργημα) ν. δὲ ἀμφισβητεῖται, καὶ ὅτι μὴ αὐτῷ ἀεὶ (sc. χρώμεθα) καὶ ὅτι χωριστός 41 τὸν γινώσκοντα ἑαυτὸν κατὰ τὸν νοῦν ἐκεῖνον γινόμενον V 3,4, 10.17 (v. κανών) ἀπὸ νοῦ ἐστι καὶ δεύτερον μετὰ νοῦν καὶ εἰκὼν νοῦ (sc. τὸ διανοητικόν) 20 νοῦν αὖ γινώσκοντα ἑαυτὸν κατοψόμεθα ἢ ἐκεῖνον μεταλαβόντες, ἐπείπερ κτλ 24.26 τὸ ἐν νῷ « αὐτὸ ἑαυτό » (sc. νοοῦν) 27 ἔστι δὴ ν. τις αὐτὸς γεγονώς, ὅτε τὰ ἄλλα ἀφεὶς ἑαυτοῦ τούτῳ καὶ τοῦτον βλέπει, αὐτῷ δὲ ἑαυτόν. ὡς δὴ οὖν ν. ἑαυτὸν ὁρᾷ 28-30 εἰ τοῦτο, δεῖ . . τὸν « νοῦν ταὐτὸν » εἶναι τῷ « νοητῷ » (cf. Aristot. Met. 1072b)· καὶ γάρ, εἰ μὴ ταὐτόν, οὐκ ἀλήθεια ἔσται V 3,5,22.26 (v. νοητός,a) πρῶτος ν. τὰ ὄντα ἔχων, μᾶλλον δὲ ὁ αὐτὸς τοῖς οὖσιν 27.31 (v. νόησις,d).38 (v. νόησις,d) οὐδὲ γὰρ ὁ ν. οὗτος δυνάμει οὐδ' ἕτερος μὲν αὐτός, ἡ δὲ νόησις ἄλλο 39 ἓν ἅμα πάντα ἔσται, ν., νόησις, τὸ νοητόν 43; 6,3 (v. νοεῖν,a) ὁ δὲ ν. (sc. ἐνόει) ὅτι αὐτὸς καὶ οἷος αὐτὸς καὶ ὅστις καὶ ἐκ τῆς ἑαυτοῦ φύσεως 4 ν. γὰρ καὶ νόησις ἓν 7.10 (v. ἀνάγκη,a) νῷ καθαρῷ θεᾶσθαι τὸ ἀληθές 11 ἕως ἦμεν ἄνω ἐν νοῦ φύσει, ἠρκούμεθα καὶ ἐνοοῦμεν . . ν. γὰρ ἦν ὁ νοῶν (v.l. ἀνθῶν) καὶ περὶ αὐτοῦ λέγων 12-14.19 (v. θεωρεῖν,a) νοῦν τινα αὐτὸ (sc. τὸ διανοητικόν) εἶναι ἢ διὰ νοῦ τὴν δύναμιν καὶ παρὰ νοῦ αὐτὸ ἴσχειν 21-22.28 (v. ἀληθής,a) εἴπερ ἐν ἑαυτῷ ἐστι καὶ σὺν ἑαυτῷ καὶ τοῦτο, ὅπερ ἐστί, ν. ἐστιν (ἀνόητος δὲ ν. οὐκ ἄν ποτε εἴη) ἀνάγκη συνεῖναι αὐτῷ τὴν γνῶσιν ἑαυτοῦ — καὶ ὅτι ἐν αὐτῷ οὗτος, καὶ οὐκ ἄλλο αὐτῷ τὸ ἔργον καὶ ἡ οὐσία ἢ τὸ νῷ μόνον εἶναι. οὐ γὰρ δὴ πρακτικός γε (cj. Kirchhoff: τε MSS) οὗτος 32-35.39 (v. ὄρεξις) τίς γὰρ ἂν καὶ ἡ ζωὴ αὐτοῦ (sc. other than self-knowledge) εἴη πράξεως ἀπηλλαγμένῳ καὶ ἐν νῷ ὄντι; 43 νῷ ἡσυχία οὐ νοῦ ἐστιν ἔκστασις, ἀλλ' ἔστιν ἡσυχία τοῦ νοῦ σχολὴν ἄγουσα ἀπὸ τῶν ἄλλων ἐνέργεια V 3,7,13-14.32 (v. νόησις,d) ποῖον (scr. Beutler-Theiler,H-S²: ποιὸν MSS) δέ τι ὁρᾷ τὸ νοητὸν ὁ ν., καὶ ποῖόν (scr. Beutler-Theiler,H-S²: ποιόν MSS) τι ἑαυτόν; V 3,8.1.18 ἐγγὺς ἂν γένοιο φύσεως νοῦ καὶ νοητοῦ 27.36 (v. φῶς); 9,21 (v. συλλογίζεσθαι) λεκτέον δὲ πάλιν τοῦτον τὸν νοῦν δεηθῆναι τοῦ ὁρᾶν ἑαυτόν, μᾶλλον δὲ ἔχειν τὸ ὁρᾶν ἑαυτόν, πρῶτον μὲν τῷ πολὺν εἶναι, εἶτα καὶ τῷ ἑτέρου (sc. τοῦ πρώτου) εἶναι, κτλ V 3,10,9.26 (v. νοεῖν, a) νοῦν (cj. Fic.: τι οὖν MSS) V 3,12,40 (v. φῶς); 16,9 (v. κόσμος,b) πᾶσα ἐν τούτῳ ψυχὴ καὶ πᾶς νοῦς καὶ οὐδὲν αὐτῷ οὔτε ζωῆς οὔτε νοῦ ἀποστατεῖ 29-30.33 V 4,2,8 (v. δυάς). 12 (v. νοητόν).19 (v. νόησις,c).25 (v. νόησις,d) ν. δὴ καὶ ὂν ταὐτόν. οὐ γὰρ τῶν πραγμάτων ὁ ν. — ὥσπερ ἡ αἴσθησις τῶν αἰσθητῶν — προόντων, ἀλλ' αὐτὸς « ν. τὰ πράγματα » (cf. Aristot. De An. 431b), εἴπερ μὴ εἴδη αὐτῶν κομίζεται. πόθεν γάρ; ἀλλ' ἐνταῦθα μετὰ τῶν πραγμάτων καὶ ταὐτὸν αὐτοῖς καὶ ἕν 43-45 τὸν νοῦν, τὸν ἀληθῆ νοῦν καὶ ὄντως, ἆρ' ἄν τις φαίη ψεύσεσθαί ποτε καὶ μὴ τὰ ὄντα δοξάσειν; οὐδαμῶς V 5,1,1.3 (v. ἀνοηταίνειν).15 (v. αἴσθησις,a2) ὁ δὴ ν. γινώσκων καὶ τὰ νοητὰ γινώσκων, εἰ μὲν ἕτερα ὄντα γινώσκει, πῶς μὲν ἂν συντύχοι αὐτοῖς; ἐνδέχεται γὰρ μή, κτλ 20 εἶτα κἀκεῖνα (sc. τὰ νοητά) ἀναίσθητα καὶ ἄμοιρα ζωῆς καὶ νοῦ, ἢ νοῦν ἔχει. καὶ εἰ νοῦν ἔχει, ἅμα ἐνταῦθα ἄμφω, καὶ τὸ ἀληθὲς ὠδί, καὶ ὁ πρῶτος ν. οὗτος, καὶ ἐπὶ τούτου ζητήσομεν, πῶς ἔχει ἡ ἐνταῦθα ἀλήθεια, καὶ τὸ νοητὸν καὶ ὁ ν. εἰ ἐν τῷ αὐτῷ μὲν καὶ ἅμα, δύο δὲ καὶ ἕτερα, ἢ πῶς; 33-36 πῶς δὲ αὐτοῖς συντεύξεται ὁ ν. περιθέων; 45 ἀλλ' εἰ τοῦτο, ὁ θεωρῶν ν. αἴσθησις ἔσται 49 εἰ γὰρ καὶ ὅτι μάλιστα δοίη τις ταῦτα ἔξω εἶναι, καὶ τὸν νοῦν αὐτὰ οὕτως ἔχοντα θεωρεῖν, ἀναγκαῖον αὐτῷ μήτε τὸ ἀληθὲς αὐτῶν ἔχειν 52 εἰ οὖν μὴ ἀλήθεια ἐν τῷ νῷ, οὗτος μὲν ὁ τοιοῦτος ν. οὔτε ἀλήθεια ἔσται, οὔτε ἀληθείᾳ ν. οὔτε ὅλως ν. ἔσται 65-67 οὔτε τύπους ἐν τῷ νῷ τῶν ὄντων λέγειν εἶναι (sc. δεῖ), οὔτε τῆς ἀληθείας

ἀποστεροῦντας αὐτὸν ἀγνωσίαν τε τῶν νοητῶν ποιεῖν καὶ ἀνυπαρξίαν καὶ ἔτι αὐτὸν τὸν νοῦν ἀναιρεῖν V 5,2,2-4 τῷ ἀληθινῷ νῷ δοτέον τὰ πάντα 9 μία τοίνυν φύσις αὕτη ἡμῖν, ν., τὰ ὄντα πάντα, ἡ ἀλήθεια· εἰ δέ, θεός τις μέγας V 5,3,1; 4,4 (v. κόσμος,c) οὕτω . . ἡ τοῦ νοῦ ὄψις· ὁρᾷ μὲν καὶ αὕτη δι' ἄλλου φωτὸς τὰ πεφωτισμένα ἐκείνῃ τῇ πρώτῃ φύσει, καὶ ἐν ἐκείνοις ὄντος ὁρᾷ V 5,7,16 ἀλλ' ἐπεὶ μὴ ὡς ἔξω ὂν δεῖ τὸν νοῦν τοῦτο τὸ φῶς βλέπειν, πάλιν 22 οὕτω δὴ καὶ ν. αὐτὸν ἀπὸ τῶν ἄλλων καλύψας καὶ συναγαγὼν εἰς τὸ εἴσω μηδὲν ὁρῶν θεάσεται οὐκ ἄλλο ἐν ἄλλῳ φῶς, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ μόνον καθαρὸν ἐφ' ἑαυτοῦ ἐξαίφνης φανέν 31 χρὴ . . τῷ νῷ πιστεύειν ἄλλα ὁρᾶν, καὶ μὴ κτλ V 5,12,2 V 6,1,20; 2, 2-3 (v. νοεῖν,c).7-8.10 (v. νοητός,a); 6,22 (v. ὄν, j) ἢ καὶ ἐν νῷ, ἢ ἐν ψυχῇ, τὸ ἄπειρον τούτων ἀνάπαλιν τῶν ἐκεῖ προχείρων V 7,3,22 τὸ τοῦ ἀληθινοῦ νοῦ . . κάλλος V 8,1,2.6 ν. δὲ οὗτος, ὁ ἀεὶ ν. καὶ οὐ ποτὲ ν., ὅτι μὴ ἐπακτὸς αὐτῷ V 8,3,9-10.12 οὕτω καὶ ἐνταῦθα ἀπὸ νοῦ τοῦ ἐν ἡμῖν κεκαθαρμένου (sc. we must start from), εἰ δὲ βούλει, ἀπὸ τῶν θεῶν, οἷός ἐστιν ὁ ἐν αὐτοῖς ν. 17-18 ἀλλὰ τί ἐστι δι' ὃ τοιοῦτοί εἰσιν (sc. οἱ θεοί); ἢ ν., καὶ ὅτι μᾶλλον ν. ἐνεργῶν ἐν αὐτοῖς, ὥστε ὁρᾶσθαι 20.23 (v. θεός,b) ἀεὶ φρονοῦσιν ἐν ἀπαθεῖ τῷ νῷ καὶ στασίμῳ καὶ καθαρῷ 25 γινώσκουσιν . . ὅσα ν. ὁρᾷ 27 καὶ γὰρ τὸ ὑποκείμενον (sc. ἐκεῖ) ν. καὶ αὐτὸς ν. V 8,4,18-19.40 (v. αὐτοεπιστήμη) εἰ δὲ εἰς νοῦν ἥξουσιν, ἐνταῦθα ὀπτέον, εἰ ὁ ν. ἐγέννησε τὴν σοφίαν V 8,5,12-13 θέαμα νοῦ V 8,8,6 (v. θέα,b); 11,34 (v. ἀγνοεῖν) V 9,1,2 (v. αἴσθησις, a2) ν. δὲ οὐ ποτὲ μὲν ν., ποτὲ δὲ ἄνους, ὅ γε ἀληθινός V 9,2,21-22 ἐπισκεπτέον δὲ ταύτην τὴν νοῦ φύσιν, ἣν ἐπαγγέλλεται ὁ λόγος εἶναι τὸ ὂν ὄντως καὶ τὴν ἀληθῆ οὐσίαν V 9,3,1 ἴσως . . γελοῖον ζητεῖν, εἰ ν. ἐστιν ἐν τοῖς οὖσι 5.25 (v. δημιουργός,b) νοῦν χορηγὸν τῶν λόγων γενονέναι, κτλ 30 δεῖ δὲ νοῦν λαμβάνειν, . . μὴ τὸν δυνάμει μηδὲ τὸν ἐξ ἀφροσύνης εἰς νοῦν ἐλθόντα . . ἀλλὰ τὸν ἐνεργείᾳ καὶ ἀεὶ νοῦν ὄντα V 9,5,1-4 ἢ δῆλον ὅτι ν. ὢν ὄντως νοεῖ τὰ ὄντα καὶ ὑφίστησιν. ἔστιν ἄρα τὰ ὄντα 12.23 (v. κόσμος,b).24 (v. λόγος,c) ὁ ν. ἄρα τὰ ὄντα ὄντως, οὐχ οἷά ἐστιν ἄλλοθι νοῶν· οὐ γάρ ἐστιν οὔτε πρὸ αὐτοῦ οὔτε μετ' αὐτόν· ἀλλὰ οἷον νομοθέτης κτλ 26 ν. δὲ ἀνέχων θαυμαστῇ φύσει τὰ παρ' αὐτῶν πίπτοντα, ὅπου ἱδρυθῇ αὐτὸς οὐ ζητεῖ 47 ν. μὲν δὴ ἔστω τὰ ὄντα, καὶ πάντα ἐν αὐτῷ οὐχ ὡς ἐν τόπῳ ἔχων, ἀλλ' ὡς αὐτὸν ἔχων καὶ ἓν ὢν αὐτοῖς V 9,6,1 οὕτως . . πολὺ μᾶλλον ὁ ν. ἐστιν ὁμοῦ πάντα καὶ αὖ οὐχ ὁμοῦ, ὅτι ἕκαστον δύναμις ἰδία. ὁ δὲ πᾶς ν. περιέχει ὥσπερ γένος εἴδη καὶ ὥσπερ ὅλον μέρη 8-9; 7,5 (v. ἐπιστῆμαι) ὅτι ὁ ν. ἔνδον — ὅ ἐστιν αὐτὰ τὰ πρῶτα — συνὼν αὐτῷ ἀεὶ καὶ ἐνεργείᾳ ὑπάρχων καὶ οὐκ ἐπιβάλλων ὡς οὐκ ἔχων ἢ ἐπικτώμενος ἢ διεξοδεύων οὐ προκεχειρισμένα — ψυχῆς γὰρ ταῦτα πάθη — ἀλλ' ἕστηκεν ἐν αὐτῷ ὁμοῦ πάντα ὤν, οὐ νοήσας, ἵν' ὑποστήσῃ ἕκαστα 8; 8,2-3 (v. ἰδέα,a) καὶ ὅλος μὲν ὁ ν. τὰ πάντα εἶδη, ἕκαστον δὲ εἶδος ν. ἕκαστος 4 ἔστιν οὖν οὗτος ὁ ν. ἐν αὐτῷ καὶ ἔχων ἑαυτὸν ἐν ἡσυχίᾳ κόρος ἀεί. εἰ μὲν οὖν προεπενοεῖτο ὁ ν. πρότερος τοῦ ὄντος, ἔδει τὸν νοῦν λέγειν ἐνεργήσαντα καὶ νοήσαντα ἀποτελέσαι καὶ γεννῆσαι τὰ ὄντα· ἐπεὶ δὲ τὸ ὂν τοῦ νοῦ προεπινοεῖν ἀνάγκη, ἐγκεῖσθαι δεῖ τίθεσθαι ἐν τῷ νοοῦντι τὰ ὄντα, κτλ 7-11.14 (v. ἐνέργεια,d) μία μὲν οὖν φύσις τό τε ὂν ὅ τε ν. 17.18 ἕτερος γὰρ ὁ μερίζων ν., ὁ δὲ ἀμέριστος καὶ μὴ μερίζων τὸ ὂν καὶ τὰ πάντα 21 τίνα οὖν ἐστι τὰ ἐν ἑνὶ νῷ, ἃ νοοῦντες μερίζομεν ἡμεῖς; κτλ V 9,9,1.6 (v. ἀνάγεσθαι,e) ἀναγκαῖον καὶ ἐν νῷ τὸ ἀρχέτυπον (sc. τοῦ κόσμου) πᾶν εἶναι, καὶ κόσμον νοητὸν τὸν νοῦν εἶναι, ὃν φησιν ὁ Πλάτων « ἐν τῷ ὃ ἐστι ζῷον » (cf. Plat. Tim. 39e) 6-7; 12,2 (v. τέχναι) λοιπὸν δὲ εἰπεῖν, εἰ . . νοῦ αὐτονοῦς (sc. ἕτερος ἐκεῖ) V 9,13,3 πῶς τὰ πάντα ταῦτα, καὶ διὰ τί ν. ταῦτα καὶ πόθεν, λεκτέον ἀπ' ἄλλης ἀρχῆς ἀρχομένοις (v. V 4) V 9,14,5 ὅσα κομίζεται ν. ἀπὸ τοῦ πρώτου, πάντα ἄριστα· ἐν οἷς οὐ ταῦτα (sc. ῥύπος καὶ πηλοῦ εἶδη)· οὐδ' ἐκ τούτων ν., ἀλλὰ ψυχὴ παρὰ νοῦ, λαβοῦσα παρὰ ὕλης ἄλλα, ἐν οἷς ταῦτα 8-10.14 (v. σύνθετος)

ἢ κἂν μὴ εἴδη τις διδῷ, ἀλλὰ νοῦν λέγων εἰ ἔξιν λέγοι ἢ κοινόν τι ἐπ' ἐκείνης (sc. τῆς ἐν τῷ νοητῷ) καὶ ταύτης (sc. τῆς ἐνθάδε) τῆς ἕξεως (sc. σκεπτέον) VI 1,12,46; 21,17 (v. ὄρεξις) εἰ δὲ τῷ νῷ λέγουσι λαβεῖν (sc. τὴν ὕλην), ἄτοπος ὁ ν. οὗτος ὁ τὴν ὕλην αὐτοῦ προτάξας καὶ τὸ ὂν αὐτῇ δεδωκώς, ἀλλ' οὐχ αὐτῷ. οὐκ ὢν οὖν ὁ ν. αὐτοῖς πῶς ἂν πιστὸς εἴη περὶ τῶν κυριωτέρων αὐτοῦ λέγων καὶ οὐδαμῇ αὐτοῖς συγγενὴς ὤν; VI 1,28,21-23 πῶς γὰρ ἔχουσα (sc. ὕλη αὐτοῖς) ὁ ν. VI 1,29,27 οὔτε νοῦν οὔτε ψυχὴν ἔχουσα (sc. ἡ ὕλη) 30 ζωὴ δὲ καὶ ἐν νῷ VI 2,7,4; 8,1.4 (v. τὸ εἶναι,i) ἴδε δὲ νοῦν καὶ καθαρὸν καὶ βλέφον εἰς αὐτὸν ἀτενίσας, μὴ ὄμμασι τούτοις δεδορκώς. ὁρᾷς δὴ οὐσίας ἑστίαν καὶ φῶς ἐν αὐτῷ ἄυπνον κτλ 5 ἔτι δὲ ἡ μὲν ἰδέα ἐν στάσει πέρας οὖσα νοῦ, ὁ δὲ ν. αὐτῆς ἡ κίνησις 24; 9,15 (v. ὄν,j) ἀληθέστερον ἐν τῷ νῷ (sc. τὸ ἕν) VI 2,11,11 ἔτι μᾶλλον (sc. ἡ ψυχή) ν. εἷς 12; 17,2 ὁ δὲ ν. ὂν νοοῦν καὶ σύνθετον ἐκ πάντων, οὐχ ἓν τι τῶν γενῶν· καὶ ἔστιν ὁ ἀληθινὸς ν. ὂν μετὰ πάντων καὶ ἤδη πάντα τὰ ὄντα, τὸ δὲ ὂν [μόνον] (del. H-S) ψιλὸν εἰς γένος λαμβανόμενον στοιχεῖον αὐτοῦ. δικαιοσύνη δὲ καὶ σωφροσύνη καὶ ὅλως ἀρετὴ ἐνέργειαί τινες νοῦ πᾶσαι· ὥστε οὐκ ἐν πρώτοις καὶ ὕστερα γένος καὶ εἴδη VI 2,18,12-16 ἐπεὶ δὲ ἔφαμεν τὸ ἐκ πάντων τῶν ὄντων νοῦν εἶναι ἕκαστον, πρὸ δὲ πάντων ὡς εἰδῶν καὶ μερῶν τὸ ὂν καὶ τὴν οὐσίαν τιθέμεθα νοῦν εἶναι, τὸν ἤδη νοῦν ὕστερον λέγομεν εἶναι VI 2,19,18-20

λάβωμεν οὖν τὸν μὲν εἶναι νοῦν οὐδὲν ἐφαπτόμενον τῶν ἐν μέρει οὐδ' ἐνεργοῦντα περὶ ὁτιοῦν, ἵνα μὴ τὶς ν. γίγνοιτο, κτλ VI 2,20,1-2 οὕτω δὴ ἄλλως μὲν νοῦν τὸν ξύμπαντα εἰπεῖν εἶναι, τὸν πρὸ τῶν καθέκαστον ἐνεργείᾳ ὄντων, ἄλλως δὲ ν. (cj. Igal,H-S²: ἐκ δὲ most MSS) ἑκάστους, τοὺς μὲν ἐν μέρει ἐκ πάντων πληρωθέντας, τὸν δ' ἐπὶ πᾶσι νοῦν χορηγὸν μὲν τοῖς καθέκαστα, δύναμιν δὲ αὐτῶν εἶναι καὶ ἔχειν ἐν τῷ (cj. Theiler: τοῖς MSS) καθόλου ἐκείνους, ἐκείνους τε αὖ ἐν αὐτοῖς ἐν μέρει οὖσιν ἔχειν τὸν καθόλου, ὡς ἡ τὶς ἐπιστήμη τὴν ἐπιστήμην. καὶ εἶναι καὶ καθ' αὑτὸν τὸν μέγαν νοῦν καὶ ἑκάστους αὖ ἐν αὐτοῖς ὄντας, κτλ 10-17 ὅρα τοίνυν ἐν τούτῳ τῷ μεγάλῳ νῷ καὶ ἀμηχάνῳ οὐ πολυλάλῳ ἀλλὰ πολύνῳ νῷ, τῷ πάντα νῷ καὶ ὅλῳ καὶ οὐ μέρει οὐδὲ τινὶ νῷ, ὅπως ἔνι τὰ πάντα ἐξ αὐτοῦ VI 2,21,3-5 τοῦτο τοίνυν τὸ μέγα σὺν τῷ ἐν αὐτῷ καλῷ τῆς οὐσίας καὶ τῇ περὶ αὐτὸ ἀγλαΐᾳ καὶ τῷ φωτὶ ὡς ἐν νῷ ὄντα ἰδὼν ὁρᾷς καὶ τὸ ποιὸν ἤδη ἐπανθοῦν, μετὰ δὲ τοῦ συνεχοῦς τῆς ἐνεργείας μέγεθος προφαινόμενον τῇ σῇ προσβολῇ ἐν ἡσύχῳ κείμενον 12 οὖσα γὰρ ἔννους ζωὴ καὶ ἐνέργεια οὐκ ἀτελὴς οὐδὲν παραλείπει ὧν εὑρίσκομεν νῦν νοερὸν ἔργον ὄν, ἀλλὰ πάντα ἔχει ἐν τῇ αὐτῆς δυνάμει ὄντα αὐτὰ ἔχουσα καὶ ὡς ἂν ν. ἔχοι. ἔχει δὲ ν. ὡς ἐν νοήσει, νοήσει δὲ οὐ τῇ ἐν διεξόδῳ 27-28.34 (v. λογισμός) ἐν οἷς γὰρ ἡ οὐσία οὐκ ἄλλο τι ἢ ν., καὶ οὐκ ἐπακτὸν οὔτε τὸ ὂν αὐτοῖς οὔτε ὁ ν., ἀμογητὶ ἂν εἴη ἄριστα ἔχον, εἴπερ κατὰ νοῦν κείσεται, καὶ τοῦτο ὄν, ὃ θέλει ν. καὶ ἔστι· διὸ καὶ ἀληθινὸν καὶ πρῶτον· εἰ γὰρ παρ' ἄλλου, ἐκεῖνο ν. 40-43 χωρὶς μὲν ἕκαστον ὅ ἐστιν ὄντων, ὁμοῦ δ' αὖ ἐν ἑνὶ ὄντων, ἡ πάντων ἐν ἑνὶ ὄντων οἷον συμπλοκὴ καὶ σύνθεσις ν. ἐστι. καὶ ἔχων μὲν τὰ ὄντα ἐν αὑτῷ «ζῷόν» ἐστι «παντελὲς» (cf. Plat. Tim. 31b) καὶ «ὅ ἐστι ζῷον» (cf. Plat. Tim. 39e), τῷ δ' ἐξ αὐτοῦ ὄντι παρέχων ἑαυτὸν ὁρᾶσθαι νοητὸν γενόμενος ἐκείνῳ δίδωσιν ὀρθῶς λέγεσθαι 56 καὶ ὁ ν. ἡμῶν ἔχων (sc. τὰς ἰδέας) ἐν τῷ πρὸ αὐτοῦ βέλτιον καθορᾷ· ἐν μὲν γὰρ αὐτῷ καθορᾷ μόνον, κτλ VI 2,22,5.7 ὁ δὴ ν. οὗτος, ὃν φαμεν καθορᾶν, οὐκ ἀπαλλαγεὶς τοῦ πρὸ αὐτοῦ ἐξ αὐτοῦ ὤν, ἅτε ὢν ἐξ ἑνὸς πολλὰ καὶ τὴν τοῦ θατέρου φύσιν συνοῦσαν ἔχων, εἰς πολλὰ γίνεται. εἰς δὲ ν. καὶ πολλὰ ὢν καὶ τοὺς πολλοὺς ν. ποιεῖ ἐξ ἀνάγκης τῆς τοιαύτης 7-11 ἀλλὰ γάρ, ὅτι ἕτερα, ἡ αἴσθησις ἢ ὁ ν. ἐρεῖ, καὶ οὐ δώσουσι λόγον, ἡ μὲν αἴσθησις, ὅτι μηδ' αὐτῆς ὁ λόγος, ἀλλὰ μόνον μηνύσεις διαφόρους ποιήσασθαι, ὁ δὲ ν. ἐν ταῖς αὐτοῦ ἐπιβολαῖς ἁπλαῖς (sc. ἐστιν) καὶ οὐ λόγοις χρῆται πανταχοῦ, ὡς λέγειν ἕκαστον τόδε τόδε, τόδε τόδε· καὶ ἔστιν ἑτερότης ἐν ταῖς κινήσεσιν αὐτοῦ διαιροῦσα θάτερον ἀπὸ θατέρου οὐχ ἑτερότητος αὐτὴ δεομένη VI 3,18,9-11; 22,18 (v. κίνησις,a) ἀλλὰ τὸν νοῦν (sc. μεριεῖς), ἵν' ὁ μὲν ᾖ ἐν ἄλλῳ, ὁ δὲ ἐν ἄλλῳ; ἀλλ' οὐδέτερος αὐτῶν ν. ἔσται VI 4,3,33-34 ν. πολλοὺς . . ν. εἷς VI 4,4,1-3 (v. ὄν,j) πῶς . . νοῖ πολλοί; 19 ν. πολὺς ἑτερότητι, οὐ τόπῳ, ὁμοῦ δὲ πᾶς 25; 10,24 (v. δύναμις,Bb).30 (v. ἀθάνατος); 14,3 (v. ψυχή,a). 7.19 (v. ἡμεῖς, a) τί γὰρ δὴ καὶ διείρξει, ὡς μὴ ἐν τῷ αὐτῷ εἶναι νοῦν ἀπ' ἄλλου; ἀλλ' ὁμοῦ ὄντες ἡμῖν οὐχ ὁμοῦ δοκοῦσιν εἶναι VI 5,10,23 VI 6,3,41 (v. κίνησις,j); 6,26 (v. ἐπιστήμη).38 (v. δικαιοσύνη) «ὁμοῦ» ἐν ἑνὶ «πάντα» (cf. Anaxagoras frg. B1)· αὕτη γὰρ νοῦ φύσις VI 6,7,4 ἑνορᾷ δὲ αὐτὰ τὰ ἐν τῷ νῷ καὶ τῇ οὐσίᾳ ὁ ἔχων ν. οὐκ ἐπιβλέπων, ἀλλ' ἔχων, οὐδὲ χωρίζων ἕκαστον· κεχώρισται γὰρ ἤδη ἐν αὐτῷ ἀεί. πιστούμεθα δὲ πρὸς τοὺς τεθαυμακότας ἐκ τῶν μετειληφότων· τὸ δὲ μέγεθος αὐτοῦ καὶ τὸ κάλλος ψυχῆς ἔρωτι πρὸς αὐτόν (cj. Kirchhoff: αὐτό MSS) (i.e. τὸν νοῦν) καὶ τῶν ἄλλων [τὸν] (del. H-S²) εἰς ψυχὴν ἔρωτι (cj. Sleeman,H-S²: ἔρωτα MSS) διὰ τὴν τοιαύτην φύσιν καὶ τῷ ἔχειν ἢ κατά τι ὡμοίωται 8; 8,2 (v. ζῷον,c) νοῦν νῷ θεωρητέον καὶ ἐνθυμητέον, ὡς καὶ ἐν ἡμῖν ζωὴ καὶ ν. οὐκ ἐν ὄγκῳ, ἀλλ' ἐν δυνάμει ἀόγκῳ 8-9.16.18-19 (v. ὄν,j).21 (v. ἀριθμός,a) ὁ ν. ἀριθμός VI 6,9, 28.30 (v. ἀριθμός,a); 15,3 (v. ὄν,j) ἐν δὲ τῷ νῷ, καθόσον ν., ὡς μὲν μέρη οἱ (cj. Creuzer: ὡς MSS) νοῖ πάντες καθ' ἕκαστον· ἀριθμὸς δὲ καὶ τούτων. οὐ τοίνυν οὐδ' ἐν νῷ ἀριθμὸς πρώτως· ὡς δὲ ἐν νῷ, ὅσα νοῦ ἐνέργειαι· καὶ ὡς νοῦ, δικαιοσύνη καὶ σωφροσύνη καὶ αἱ ἄλλαι ἀρεταὶ καὶ ἐπιστήμη καὶ ὅσα ν. ἔχων ν. ἐστιν ὄντως 14-18; 17,35-38 (v. ζῷον,c) ἀλλὰ «ν.» φησιν ὅσα «ὁρᾷ ἐν τῷ παντελεῖ ζῴῳ» (cf. Plat. Tim. 39e and 31b)· εἰ οὖν ὁρᾷ, ὕστερος. ἢ δυνατὸν τὸ «ὁρᾷ» οὕτως εἰρῆσθαι, ὡς ἐν τῇ ὁράσει τῆς ὑποστάσεως γινομένης· οὐ γὰρ ἄλλος, ἀλλὰ πάντα ἕν, καὶ ἡ νόησις δὲ ψιλὴν ἔχει σφαῖραν, τὸ δὲ ζῷον ζῴου σφαῖραν (cj. Steinhart: σφαῖρα MSS) 39 ἡ δὲ πάντων φρόνησις καὶ ὁ πᾶς ν. ἐπὼν καὶ συνὼν καὶ ὁμοῦ ὢν ἀγαθώτερον αὐτὸ (sc. τὸ ζῷον) ἐπιχρώσας καὶ συγκερασάμενος φρόνησιν σεμνότερον αὐτοῦ τὸ κάλλος παρέχεται VI 6,18,20.36.52 (v. εἶναι,i) τίνες οὖν ἀρχαί (sc. τοῦ λογισμοῦ τοῦ θεοῦ); ἢ γὰρ αἴσθησις ἢ ν.. ἀλλὰ αἴσθησις μὲν οὔπω· ν. ἄρα. ἀλλ' εἰ ν. αἱ προτάσεις, τὸ συμπέρασμα ἐπιστήμη· περὶ αἰσθητοῦ οὐδενὸς ἄρα VI 7,1, 23-24 διὸ καὶ ἐντεῦθεν (from its causative power) ἄν τις οὐχ ἧττον καταμάθοι τὴν νοῦ φύσιν, ἣν καὶ πλέον τῶν ἄλλων ὁρῶμεν· οὐδ' ὡς ὅσον ἐστὶ τὸ νοῦ χρῆμα ὁρῶμεν. τὸ μὲν γὰρ «ὅτι» δίδομεν αὐτὸν ἔχειν, τὸ δὲ «διότι» οὐκέτι, ἤ, εἰ δοίημεν, χωρὶς VI 7,2,2-3 ἀργὸν μὲν γὰρ ὂν καὶ ζωὴν <μὴ> (add. Theiler) ἔχον τὸ «διὰ τί» οὐ πάντως ἔχει, εἶδος δὲ ὂν καὶ νοῦ ὂν πόθεν ἂν λάβοι τὸ «διὰ τί»; εἰ δὲ παρὰ νοῦ τις λέγοι, οὐ χωρίς ἐστιν, εἴ γε καὶ αὐτό ἐστιν· εἰ οὖν δεῖ ἔχειν ταῦτα μηδενὶ ἐλλείποντα, μηδὲ τῷ «διὰ τί» ἐλλείπειν. ν. δὲ ἔχει τὸ διὰ

τί οὕτως ἕκαστον τῶν ἐν αὐτῷ· τὰ δὲ ἐν αὐτῷ αὐτὸς ἕκαστον ἂν εἴη τῶν ἐν αὐτῷ, ὥστε μηδὲν προσδεῖσθαι τοῦ διὰ τί γέγονεν, ἀλλ' ὁμοῦ γέγονε (sc. ἕκαστον) καὶ ἔχει ἐν αὐτῷ τὴν τῆς ὑποστάσεως αἰτίαν. γεγονὸς δὲ οὐκ εἰκῇ οὐδὲν ἂν παραλελειμμένον ἔχοι, τοῦ « διὰ τί », ἀλλὰ πᾶν ἔχον ἔχει καὶ τὸ καλῶς ὁμοῦ τῆς αἰτίας. καὶ τοῖς ἄρα μεταλαμβάνουσιν οὕτω δίδωσιν, ὡς τὸ « διὰ τί » ἔχειν 21-23 τί γὰρ ἂν καὶ περιττὸν εἶχε νοῦ (sc. ἕκαστον), ὡς ἂν νοῦ νόημα μὴ τοιοῦτον ὄν, οἷον μὴ τέλεον γέννημα; εἰ οὖν τέλεον, οὐκ ἔστιν εἰπεῖν ὅτῳ ἐλλείπει, οὐδὲ διὰ τί τοῦτο οὐ πάρεστι. παρὸν ἄρα ἔχοις ἂν εἰπεῖν διότι πάρεστιν· ἐν ἄρα τῇ ὑποστάσει τὸ διὰ τί 47; 3,24.28 (v. τὸ αἰσθητικόν); 6,12 (v. ἄνθρωπος); 8,26-27 (v. δυάς) ἦν τοίνυν οὐχ ὡς ν. εἷς, ἀλλὰ πᾶς καὶ πάντας τοὺς καθ' ἕκαστα ν. ἔχων καὶ τοσοῦτος ὅσοι πάντες, καὶ πλείων 27-28 ἐκεῖ . . τὸ ἄνουν ν. ἦν, ἐπεὶ καὶ ὁ νοῶν ἵππον ν. ἐστι, κτλ VI 7,9,23-24.28-29 (v. νόησις,d) οὕτως οὐδὲ ν. τοιόσδε ἀπήλλακται τοῦ εἶναι ν.· ἐπεὶ οὐδὲ ὁ ν. ὁ κατὰ ὁτιοῦν ζῷον ἀπήλλακται αὖ τοῦ ν. εἶναι πάντων, οἷον καὶ ἀνθρώπου, εἴπερ ἕκαστον μέρος, ὅ τι ἂν λάβῃς, πάντα ἀλλ' ἴσως ἄλλως. ἐνεργείᾳ μὲν γὰρ ἐκεῖνο, δύναται δὲ πάντα· λαμβάνομεν δὲ καθ' ἕκαστον τὸ ἐνεργείᾳ· τὸ δ' ἐνεργείᾳ ἔσχατον, ὥστε τοῦδε τοῦ νοῦ (a particular νοῦς) τὸ ἔσχατον ἵππον εἶναι, καὶ ἦ ἔληξε προϊὼν ἀεὶ εἰς ἐλάττω ζωήν, ἵππον εἶναι, ἄλλον δὲ (sc. νοῦν) κατωτέρω λῆξαι 30-36 ὥστε, ἦ κατῆλθεν ὁ ν., ταύτῃ πάλιν αὖ τῷ αὐτάρκει τῆς φύσεως ἀνακύψαι καὶ εὑρεῖν κτλ 44; 10,3.6 (v. ζῷον,c); 12,21; 13,1 (v. ἁπλοῦς, d) ν. τε κινούμενος κινεῖται μὲν ὡσαύτως καὶ κατὰ ταὐτὰ καὶ ὅμοια ἀεί, οὐ μέντοι ταὐτὸν καὶ ἕν τι ἐν μέρει, ἀλλὰ πάντα. ἐπεὶ καὶ τὸ ἐν μέρει αὖ οὐχ ἕν, ἀλλὰ καὶ τοῦτο ἄπειρον διαιρούμενον. ἀπὸ τίνος δέ φαμεν (sc. κινεῖσθαι ἂν τὸν νοῦν) ἂν καὶ πάντως ἐπὶ τί ὡς ἔσχατον; τὸ δὲ μεταξὺ πᾶν ἄρα ὥσπερ γραμμή, ἢ ὥσπερ ἕτερον σῶμα ὁμοιομερές τι καὶ ἀποίκιλον; ἀλλὰ τί τὸ σεμνόν; 4 εἰ μὲν οὖν ἔστι πρὸ αὐτοῦ τὰ ἕτερα πάντα, ἤδη πάσχοι ἂν ὑπ' αὐτῶν· εἰ δὲ μὴ ἔστιν, οὗτος τὰ πάντα ἐγέννα, μᾶλλον δὲ τὰ πάντα ἦν. οὐκ ἔστιν ἄρα τὰ ὄντα εἶναι μὴ νοῦ ἐνεργήσαντος, ἐνεργήσαντος δὲ ἀεὶ ἄλλο μετ' ἄλλο καὶ οἷον πλανηθέντος πᾶσαν πλάνην καὶ ἐν αὐτῷ πλανηθέντος, οἷα ν. ἐν αὐτῷ ὁ ἀληθινὸς πέφυκε πλανᾶσθαι· πέφυκε δ' ἐν οὐσίαις πλανᾶσθαι συνθεουσῶν τῶν οὐσιῶν ταῖς αὐτοῦ πλάναις. πανταχοῦ δ' αὐτός ἐστι· μένουσαν οὖν ἔχει τὴν πλάνην. ἡ δὲ πλάνη αὐτῷ ἐν « τῷ τῆς ἀληθείας πεδίῳ » (cf. Plat. Phaedr. 248b), οὗ οὐκ ἐκβαίνει. ἔχει δὲ καταλαβὼν πᾶν καὶ αὐτῷ ποιήσας εἰς τὸ κινεῖσθαι οἷον τόπον, καὶ ὁ τόπος ὁ αὐτὸς τῷ οὗ τόπος· . . ἀεὶ δ' ἔχων (sc. ὁ ν. ἐστί) τὴν αὐτὴν διὰ τῶν οὐκ αὐτῶν διέξοδον, ὅτι μὴ ἀμείβει, ἀλλὰ σύνεστι τοῖς ἄλλοις τὸ ὡσαύτως καὶ κατὰ ταὐτά· ἐὰν γὰρ μὴ περὶ τὰ ἄλλα τὸ ὡσαύτως καὶ κατὰ τὰ αὐτά, ἀργεῖ πάντη καὶ τὸ ἐνεργείᾳ καὶ ἡ ἐνέργεια οὐδαμοῦ. ἔστι δὲ καὶ τὰ ἄλλα αὐτός, ὥστε πᾶς αὐτός. καὶ εἴπερ αὐτός, πᾶς, εἰ δὲ μή, οὐκ αὐτός. εἰ δὲ πᾶς αὐτός, καὶ πᾶς, ὅτι τὰ πάντα, καὶ οὐδέν ἐστιν, ὅ τι μὴ συντελεῖ εἰς τὰ πάντα, οὐδέν ἐστιν αὐτοῦ, ὅ τι μὴ ἄλλο, ἵνα ἄλλο ὂν καὶ τοῦτο συντελῇ. εἰ γὰρ μὴ ἄλλο, ἀλλὰ ἄλλῳ ταὐτόν, ἐλαττώσει αὐτοῦ τὴν οὐσίαν οὐ παρεχόμενον εἰς συντέλειαν αὐτοῦ φύσιν VI 7,13,28-31 ἔστι δὲ καὶ παραδείγμασι νοεροῖς χρώμενον εἰδέναι οἷόν ἐστι ν., ὡς οὐκ ἀνέχεται οἷον κατὰ μονάδα μὴ ἄλλος εἶναι VI 7,14,2 καὶ τὸ ἄπειρον οὕτως ἐν νῷ, ὅτι ἕν (cj. Igal,H-S²: ἂν MSS) ὡς « ἓν πολλά » (cf. Plat. Parm. 144e) οὐχ ὡς ὄγκος (Porph.: οἶκος MSS) εἷς, ἀλλ' ὡς λόγος πολὺς ἐν αὐτῷ, ἐν ἑνὶ σχήματι νοῦ οἷον περιγραφῇ ἔχων περιγραφὰς ἐντὸς καὶ σχηματισμοὺς αὖ ἐντὸς καὶ δυνάμεις καὶ νοήσεις καὶ τὴν διαίρεσιν μὴ κατ' εὐθύ, ἀλλ' εἰς τὸ ἐντὸς ἀεί, οἷον τοῦ παντὸς ζῴου ἐμπεριεχομένας ζῴων φύσεις, καὶ πάλιν αὖ ἄλλας ἐπὶ τὰ μικρότερα τῶν ζῴων καὶ εἰς τὰς ἐλάττους δυνάμεις, ὅπου στήσεται εἰς εἶδος ἄτομον 11-13 νοῦ ἴχνος (sc. ἐνταῦθα) VI 7,15,8 ὅ τι οὖν ἐγέννα (sc. ὁ ν.), ἀγαθοῦ ἐκ δυνάμεως ἦν καὶ ἀγαθοειδὲς ἦν, καὶ αὐτὸς ἀγαθὸς ἐξ ἀγαθοειδῶν, ἀγαθὸν ποικίλον. διὸ καὶ εἴ τις αὐτὸν ἀπεικάζει σφαίρᾳ ζώσῃ ποικίλῃ, εἴτε παμπρόσωπόν τι χρῆμα λάμπον ζῶσι προσώποις εἴτε ψυχὰς τὰς καθαρὰς πάσας εἰς τὸ αὐτὸ συνδραμούσας φαντάζοιτο οὐκ ἐνδεεῖς, ἀλλὰ πάντα τὰ αὐτῶν ἐχούσας, καὶ νοῦν τὸν πάντα ἐπ' ἄκραις αὐταῖς ἱδρυμένον, ὡς φέγγει νοερῷ καταλάμπεσθαι τὸν τόπον — φανταζόμενος μὲν οὕτως ἔξω πως ἄλλος ὢν ὁρᾴῃ ἄλλον· δεῖ δὲ αὐτὸν (cj. Igal,H-S²: ἑαυτὸν MSS) ἐκεῖνο γενόμενον τὴν θέαν ἑαυτὸν ποιήσασθαι 29 τί οὖν τὸ « ἓν (sc. τὸ τῆς ζωῆς) ὡρίσθη »; ν.· ὁρισθεῖσα γὰρ ζωὴ ν.. τί δὲ τὸ « πολλά »; νόες πολλοί. πάντα οὖν νόες, καὶ ὁ μὲν πᾶς ν., οἱ δὲ ἕκαστοι νοῖ. ὁ δὲ πᾶς ν. ἕκαστον περιέχων ἄρα ταὐτὸν ἕκαστον περιέχει; ἀλλ' ἕνα ἂν περιεῖχεν. εἰ οὖν πολλοί, διαφορὰν δεῖ εἶναι. πάλιν οὖν πῶς ἕκαστος διαφορὰν ἔσχεν; ἢ ἐν τῷ καὶ εἰς ὅλως γενέσθαι εἶχε τὴν διαφοράν. οὐ γὰρ ταὐτὸν ὁτουοῦν νοῦ τὸ πᾶν VI 7,17,25-32 ὁ δὲ γενόμενος ν. αὐτὰ ἀνεφάνη τὰ πάντα. ὃ δὲ ἐπικάθηται αὐτοῖς, οὐχ ἵνα ἱδρυθῇ, ἀλλ' ἵνα ἱδρύσῃ « εἶδος εἰδῶν » (cf. Aristot. De An. 432a) τῶν πρώτων ἀνείδεον αὐτό (sc. τὸ ἕν) 34; 25,27 (v. ἀνωτέρω) οὐκ ἐν πράξει τοῦτο ἔσται, ἀλλ' ἐν νῷ στήσεται τοῦτο (sc. τὸ ἐφ' ἡμῖν) VI 8,2,35: 3,19 (v. αὐτεξούσιος) εἰς ἀρχὴν τὸ ἐφ' ἡμῖν καλλίστην ἀνάγοντες τὴν τοῦ νοῦ ἐνέργειαν καὶ τὰς ἐντεῦθεν προτάσεις ἐλευθέρας ὄντως δώσομεν, καὶ τὰς ὀρέξεις τὰς ἐκ τοῦ νοεῖν ἐγειρομένας οὐκ ἀκουσίους εἶναι δώσομεν, καὶ τοῖς θεοῖς τοῦτον ζῶσι τὸν τρόπον [ὅσοι νῷ καὶ ὀρέξει τῇ κατὰ

νοῦν ζῶσι] (del. H-S) φήσομεν παρεῖναι 22-26 περὶ τοῦ νοῦ αὐτοῦ ἀπορητέον, εἰ ὅπερ πέφυκε καὶ ὡς πέφυκεν ἐνεργῶν λέγοιτο ἂν τὸ ἐλεύθερον ἔχειν καὶ τὸ ἐπ' αὐτῳ, οὐκ ἔχων ἐπ' αὐτῷ τὸ μὴ ποιεῖν VI 8,4,4 καὶ εἰ ἄλλην δὲ ὁ ν. ἀρχὴν ἔχει, ἀλλ' οὐκ ἔξω αὐτοῦ, ἀλλ' ἐν τῷ ἀγαθῷ. καὶ εἰ κατ' ἐκεῖνο τὸ ἀγαθόν, πολὺ μᾶλλον <τὸ> (add. Kirchhoff) ἐπ' αὐτῷ καὶ τὸ ἐλεύθερον· ἐπεὶ καὶ τὸ ἐλεύθερον καὶ τὸ ἐπ' αὐτῷ τις ζητεῖ τοῦ ἀγαθοῦ χάριν. εἰ οὖν κατὰ τὸ ἀγαθὸν ἐνεργεῖ, μᾶλλον ἂν τὸ ἐπ' αὐτῷ· ἤδη γὰρ ἔχει τὸ πρὸς αὐτὸ ἐξ αὐτοῦ ὁρμώμενον (cj. Kirchhoff: ὁρώμενον MSS) καὶ ἐν αὐτῷ, εἴπερ πρὸς αὐτό, ὃ ἄμεινον ἂν εἴη αὐτῷ ἐν αὐτῷ ἂν εἶναι, εἴπερ πρὸς αὐτό 33 ἆρ' οὖν ἐν νῷ μόνῳ νοοῦντι τὸ αὐτεξούσιον καὶ τὸ ἐπ' αὐτῷ καὶ ἐν νῷ τῷ καθαρῷ ἢ καὶ ἐν ψυχῇ κτλ; VI 8,5,1-2.34.37 (v. ἀρετή,j); 6,5.22 (v. ἀρετή,j) ὁ δὲ θεωρητικὸς ν. καὶ πρῶτος οὕτω τὸ ἐφ' αὐτῷ (sc. ἔχει), ὅτι τὸ ἔργον αὐτοῦ μηδαμῶς ἐπ' ἄλλῳ, ἀλλὰ πᾶς ἐπέστραπται πρὸς αὐτὸν καὶ τὸ ἔργον αὐτοῦ αὐτὸς καὶ ἐν τῷ ἀγαθῷ κείμενος ἀνενδεὴς καὶ πλήρης ὑπάρχων καὶ οἷον κατὰ βούλησιν ζῶν· ἡ δὲ βούλησις ἡ νόησις, βούλησις δ' ἐλέχθη, ὅτι κατὰ νοῦν· ἡ (cj. Igal,H-S²: καὶ MSS) γὰρ λεγομένη βούλησις τὸ κατὰ νοῦν μιμεῖται. ἡ γὰρ βούλησις θέλει τὸ ἀγαθόν· τὸ δὲ νοεῖν ἀληθῶς ἐστιν ἐν τῷ ἀγαθῷ. ἔχει οὖν ἐκεῖνος, ὅπερ ἡ βούλησις θέλει καὶ οὗ τυχοῦσα ἂν ταύτη νόησις γίνεται. εἰ οὖν βουλήσει τοῦ ἀγαθοῦ τίθεμεν (cj. Theiler: ἐτίθεμεν MSS) τὸ ἐφ' ἡμῖν, τὸ ἤδη ἐν ᾧ θέλει ἡ βούλησις εἶναι ἱδρυμένον πῶς οὐ τὸ ἐφ' αὐτῷ ἔχει; ἢ μεῖζον εἶναι θετέον, εἰ μή τις ἐθέλει εἰς τοῦτο ἀναβαίνειν τὸ ἐφ' αὐτῷ 32-38 ὅπου (sc. brought under the conception of human freedom) καὶ ν. μόλις, ὅμως δὲ βίᾳ εἵλκετο VI 8,7,10.48; 9,30-32 (v. συμβαίνειν,a2); 10,13.16-17 (v. τύχη,a); 17,11 (v. πρόνοια) εἰ μὲν οὖν ν. πρὸ πάντων καὶ ἀρχὴ ὁ τοιοῦτος ν., οὐκ ἂν εἴη ὡς ἔτυχε, πολὺς μὲν ὤν, συνῳδὸς δὲ αὐτῷ καὶ οἷον εἷς ἐν συντεταγμένος. οὐδὲν γὰρ πολὺ καὶ πλῆθος συντεταγμένον καὶ λόγοι πάντες καὶ περιληφθέντες ἑνὶ διὰ παντὸς ὡς ἔτυχε καὶ ὡς συνέβη, ἀλλὰ πόρρω φύσεως τῆς τοιαύτης καὶ ἐναντίον, ὅσον τύχη ἐν ἀλογίᾳ κειμένη λόγῳ 12-13 cf. ὁ ν., ὃς οὐ τύχη, κτλ VI 8,18,36 VI 9,2,5 (v. οὐσία,b).24-25 (v. ὄν,j) μετὰ δὲ ταῦτα νοῦν λαβεῖν (sc. δεῖ) ἕτερον τοῦ λογιζομένου καὶ λογιστικοῦ καλουμένου, καὶ τοὺς λογισμοὺς ἤδη οἷον ἐν διαστάσει καὶ κινήσει, καὶ τὰς ἐπιστήμας λόγους ἐν ψυχῇ τὰς τοιαύτας ἐν φανερῷ ἤδη γεγονυίας τῷ ἐν τῇ ψυχῇ γεγονέναι τὸν νοῦν τῶν ἐπιστημῶν αἴτιον. καὶ νοῦν ἰδόντα οἷον αἰσθητὸν τῷ ἀντιληπτὸν εἶναι ἐπαναβεβηκότα τῇ ψυχῇ καὶ πατέρα αὐτῆς ὄντα κόσμον νοητόν, νοῦν ἡσυχον καὶ ἀτρεμῆ κίνησιν φατέον πάντα ἔχοντα ἐν αὐτῷ καὶ πάντα ὄντα, πλῆθος ἀδιάκριτον καὶ αὖ διακεκριμένον. οὔτε γὰρ διακέκριται ὡς οἱ λόγοι οἱ ἤδη καθ' ἓν νοούμενοι, οὔτε συγκέχυται τὰ ἐν αὐτῷ· πρόεισι γὰρ ἕκαστον χωρίς VI 9,5, 8-14; 9,17 (v. ἐνέργεια,d); 11,48 (v. κουφίζεσθαι)

b) Passages dealing with the relation of ψυχή to νοῦς: I 2,3,18 τὸ πρὸς νοῦν ἐνεργεῖν, κτλ I 2,6,24 (v. δικαιοσύνη).25; 7,6 (v. ὅρασις) ψυχὴ .. ἀναχθεῖσα πρὸς νοῦν ἐπὶ τὸ μᾶλλόν ἐστι καλόν I 6,6,16 ν. καὶ τὰ παρὰ νοῦ τὸ κάλλος αὐτῇ οἰκεῖον καὶ οὐκ ἀλλότριον 17.27 (v. καλός,a) ψυχὴ πρὸς αὐτὸ (sc. τὸ ἀγαθόν) διὰ νοῦ I 7,2,2.7 (v. ψυχή,a, ἀγαθοειδής) I 8, 4,25 (v. νεύειν,b) ὁρισθεῖσα νῷ 28 ἔχουσά τι ἀγαθὸν νοῦ ἴχνος I 8,11,17 δεῖ τοίνυν καὶ αὐτὴν παρὰ νοῦ ἔχουσαν διδόναι II 3,17,14. 15-16 (v. ψυχή,c1); 18,14-15 (v. ψυχή,b1) II 4,3,4 (v. λόγος,b) εἶτα ψυχὴν μετὰ νοῦν κτλ II 9,1,15.60-63; 13,33 (v. ψυχή,b1) III 3,3,22 (v. ψυχή,b1) τὸ γὰρ εὐθὺς ἐκ νοῦ πεφυκὸς καθαρὸν καὶ αὐτό, κτλ III 5,2,27.30 (v. ψυχή, b1); 8,19 (v. ψυχή,b1); 9,7 (v. λόγος,c).11 (v. ἀγλάισμα).30 (v. ψυχή,b1) III 8,8,2 (v. θεωρία) cf. 6 III 9,5,2-3 (v. ψυχή,b1) IV 3,5,9 (v. ψυχή,e3) λόγοι νῶν οὖσαι 10.16 (v. μερίζεσθαι). 17 (v. λόγος,c) ἔστι δὲ καὶ τὴν μὲν πρὸς τὸν ὅλον νοῦν ἰδεῖν, τὰς δὲ μᾶλλον πρὸς τοὺς αὐτῶν τοὺς ἐν μέρει IV 3,6,16 ταύτῃ δέ (sc. τῇ ψυχῇ), ᾗπερ καί εἰσι καὶ ὃ λέγονται (sc. θεοί), πρὸς νοῦν βλέπειν IV 3,11,26 οὐκ ἀποτμηθεῖσαι οὐδ' αὗται (sc. ἀνθρώπων ψυχαί) τῆς ἑαυτῶν ἀρχῆς τε καὶ νοῦ. οὐ γὰρ μετὰ τοῦ νοῦ ἦλθον, κτλ IV 3, 12,4 παρὰ νῶν τῶν ἄλλων ψυχὰς διδόντων IV 3,14,4 ὅταν ἐν ἐκείνῳ ᾖ τῷ τόπῳ, εἰς ἕνωσιν ἐλθεῖν τῷ νῷ ἀνάγκη, κτλ IV 4,2,26 cf. 28 IV 4,4,1 (v. τὸ ἀγαθόν); 13,17 (v. κομίζεσθαι); 16,19 (v. ἐνέργεια,b) IV 6,2,23 (v. ψυχή,e1α) IV 7,13,14 (v. ἐμπαθής) IV 8,3,23 προσλαβοῦσα γὰρ .. καὶ ἄλλο, .. ν. οὐκ ἔμεινεν 24; 4,27 (v. αἴσθησις,a1).34 (v. συνεῖναι); 8,13 (v. ψυχή,d4).15 (v. λογισμός) εἰκών τις .. νοῦ, .. λόγος νοῦ V 1,3,7-8 οὖσα .. ἀπὸ νοῦ νοερά ἐστι, καὶ ἐν λογισμοῖς ὁ ν. αὐτῆς κτλ 12-13.15 (v. ὑπόστασις) ὅ τε ἐνεργείᾳ λόγος νοῦ αὐτῇ ὁρωμένου 16.17 (v. ἑνορᾶν) ν. οὖν ἐπιμᾶλλον θειοτέραν ποιεῖ καὶ τῷ πατρὶ εἶναι καὶ τῷ παρεῖναι 20.23-24 (v. ὕλη,b1) ἡ ψυχὴ λόγος νοῦ καὶ ἐνέργειά τις, κτλ V 1,6,45 ὡς γὰρ εἴδωλον νοῦ — ταύτῃ καὶ εἰς νοῦν βλέπειν δεῖ 47 μεταξὺ οὐδέν, ὡς οὐδὲ ψυχῆς καὶ νοῦ 49 ψυχὴν γὰρ γεννᾷ ν., ν. ὧν τέλειος V 1,7, 37; 8,10 (v. Πλάτων) τελεία δὲ ἡ νοῦν ἔχουσα V 1,10,12 ἐπεὶ καὶ τὸ πρὸ τούτου (i.e. the higher part of the soul) τὸ νοῦ ἐξηρτημένον μένειν τὸν νοῦν ἐφ' ἑαυτοῦ ἐᾷ V 2,1,28 ἀπὸ νοῦ (sc. ἡ κίνησις) ὡς νοῦν οἰκεῖον ἐχούσης V 2,2,9 ἡ δὲ (sc. ψυχῆς δύναμις) μέχρι νοῦ, οὐ τόπῳ· οὐδὲν γὰρ ἐν τόπῳ ἦν· ὁ δὲ ν. πολὺ μᾶλλον οὐκ ἐν τόπῳ, ὥστε οὐδὲ αὕτη 19 καὶ ν. ὁ τῆς ψυχῆς μέχρι τοῦδε (sc. τῆς ἀναμνήσεως) ἱστάμενος τῇ δυνάμει ᾗ καὶ εἰς ἑαυτὸν

στρέφεται καὶ γιγνώσκει ἑαυτόν; ἢ ἐπὶ τὸν νοῦν ἀνενεκτέον τοῦτο. γνῶσιν μὲν γὰρ ἑαυτοῦ τούτῳ τῷ μέρει διδόντες — νοῦν γὰρ αὐτὸν φήσομεν — καὶ ὅπῃ διοίσει τοῦ ἐπάνω ζητήσομεν, κτλ V 3,2,14-17; 3,11 (v. ἐπιλάμπειν) τὸ γὰρ καθαρὸν τῆς ψυχῆς τοῦτο (sc. τὸ διανοητικόν) καὶ νοῦ δέχεται ἐπικείμενα ἴχνη 12.13 (v. ψυχή,e1β) τί οὖν κωλύει ἐν ψυχῇ νοῦν καθαρὸν εἶναι; οὐδὲν φήσομεν· ἀλλ' ἔτι δεῖ λέγειν ψυχῆς τοῦτο; ἀλλ' οὐ ψυχῆς μὲν φήσομεν, ἡμέτερον δὲ νοῦν φήσομεν, κτλ 22-24. 39; 6,15 (v. ψυχή,e3) ἔστιν ὁ μὲν ν. ἐν αὐτῷ ἐνέργεια, ἡ δὲ ψυχὴ τὸ μὲν ὅσον πρὸς νοῦν αὐτῆς οἷον εἴσω, τὸ δ' ἔξω νοῦ πρὸς τὸ ἔξω V 3,7,26-27; 8,35 (v. ζωή,c) ἐάν τις αὐτὴν (cj. Kirchhoff,H-S²: αὐτὸν MSS) ἀπαιτῇ ὁποῖον ὁ ν. ἐκεῖνός ἐστιν ὁ τέλεος καὶ πᾶς, ὁ γινώσκων πρώτως ἑαυτόν, ἐν τῷ νῷ αὐτὴν πρῶτον γενομένην ἢ παραχωρήσασαν τῷ νῷ τὴν ἐνέργειαν, κτλ 49-51.55 (v. ψυχή,e5); 9,2.15 (v. ψυχή,b1). 20 (v. συλλογιστέα) V 5,9,31 (v. ψυχή,b1) ψυχὴ μὲν γὰρ ἐπακτὸν νοῦν ἔχει ἐπιχρωννύντα αὐτὴν νοερὰν οὖσαν, κτλ V 6,4,16 V 9,2,21 (v. φρόνησις) τὸ δὲ (sc. ἐν τῇ ψυχῇ) εἶδος, ὁ ν. ὁ ἐν αὐτῇ, ὁ μὲν ὡς ἐπὶ τῷ χαλκῷ μορφή, ὁ δὲ οἷος ὁ τὴν μορφὴν ἐν τῷ χαλκῷ ποιήσας V 9,3,22 cf. νοῦν δὲ τὸν μὲν ὡς εἶδος τῆς ψυχῆς, τὸν κατὰ τὴν μορφήν, τὸν δὲ τὴν μορφὴν παρέχοντα ὡς τὸν ποιητὴν τοῦ ἀνδριάντος, ᾧ πάντα ἐνυπάρχει, ἃ δίδωσιν 33 ν. ψυχῆς ἕτερον καὶ κρεῖττον V 9,4,2.4.18 (v. ψυχή,b1); 14,10 (v. supra,a).21 (v. ψυχή,b1) ἐπεὶ καὶ ψυχὴ μετὰ νοῦν, καθόσον ψυχὴ ἔχουσα ἐν αὐτῇ (sc. τὰς ἰδέας), ἐν τῷ πρὸ αὐτῆς βέλτιον καθορᾷ VI 2,22,3.20 (v. ψυχή,b1) καὶ ἔστι ν. μὲν ὁ τοιοῦτος ('celle qui contient une âme', Bréhier) μέρος, καίπερ τὰ πάντα ἔχων, καὶ ὁ πᾶς <μέρος> καὶ οἱ αὐτοῦ (sc. νοῖ) μέρη ἐνεργείᾳ ὄντος αὐτοῦ ὄντες [μέρος] (transp. H-S), ψυχὴ δὲ μέρος μέρους, ἀλλ' ὡς ἐνέργεια ἐξ αὐτοῦ. ὅτε μὲν γὰρ ἐν αὐτῷ ἐνεργεῖ, τὰ ἐνεργούμενα οἱ ἄλλοι νοῖ, ὅτε δὲ ἐξ αὐτοῦ, ψυχή 23-27 ἡ . . πρὸς τὸ ἄνω (sc. ἐνέργεια) ν. 30 VI 4,11,11 (v. διάφορος) VI 6,15,23 (v. ψυχή,e3) VI 7,13,1 (v. ἁπλοῦς,d); 15,29 (v. supra,a) καὶ ν. δὲ γίνεται πρὸς ψυχὴν οὕτως φῶς εἰς αὐτήν, ὡς ἐκεῖνος εἰς νοῦν· καὶ ὅταν καὶ οὗτος ὁρίσῃ τὴν ψυχήν, λογικὴν ποιεῖ δοὺς αὐτῇ ὧν ἔσχεν ἴχνος VI 7, 17,36-37; 20,12-13 (v. ψυχή,e3) ἀλλ' εἰ μὲν νοῦ μόνον ἐφίεται, τάχα ἂν πλείονος ἐδέησε λόγου δεικνύντων, ὡς οὐ τὸ ἔσχατον ὁ ν. καὶ νοῦ μὲν οὐ πάντα, ἀγαθοῦ δὲ πάντα 16-18 πρὸ τοῦδε οὐδὲ πρὸς τὸν νοῦν κινεῖται, καίπερ καλὸν ὄντα· ἀγόν τε γὰο τὸ κάλλος αὐτοῦ, πρὶν τοῦ ἀγαθοῦ φῶς λάβῃ VI 7,22.10,13 (v. νωθής).19.21 (v. ἔρως) ν. ψυχῆς (sc. μᾶλλον εἶδος) VI 7.28,23 cf. VI 7,33,36 ν. γενόμενος κτλ VI 7,35,4 (v. νοεῖν,b).34 (v. ψυχή,b1); 41, 18 (v. νόησις,e2α and d); 42,21 (v. ἀναστᾶσθαι) VI 8,5,2 (v. supra,a); 7,1.3 (v. ψυχή,e3) VI 9,3, 23 (v. infra,c); 5,6 (v. ψυχή,b1).12 (v. supra,a)

c) νοῦς in relation to τὸ πρῶτον: I 3,5,7 (v. ἐπέκεινα,a) I 6,6,26 (v. καλός,a) αἴτιος καὶ νοῦ καὶ τοῦ εἶναι I 6,7,11 ἐπέκεινα νοῦ καὶ νοήσεως I 7,1,20 ν. δὲ μετὰ τἀγαθόν I 7,2,8 καὶ ν. (sc. τὸ ἀγαθόν ἐστιν), ὅτῳ νοῦ μέτεστιν· ὥστε ὅτῳ ζωὴ μετὰ νοῦ, διχῶς καὶ ἐπ' αὐτό 9-10 δοὺς ἐξ αὐτοῦ νοῦν καὶ οὐσίαν καὶ ψυχὴν καὶ ζωὴν καὶ περὶ νοῦν ἐνέργειαν I 8,2,6-7 εἶτα νοῦν μετ' αὐτὸ καὶ τὸ νοοῦν πρώτως II 9,1,14 ἕνα νοῦν τὸν αὐτὸν ὡσαύτως ἔχοντα, . . μιμούμενον τὸν πατέρα II 9,2,2; 13,33 (v. supra.a) εἰ οὖν δεῖ μὴ συνεζεῦχθαι τὸ νοητόν, οὐδὲ ν. ἔσται. εἰ οὖν μὴ ν., ἀλλ' ἐκφεύξεται τὰ δύο, τὸ πρότερον τῶν δύο τούτων ἐπέκεινα νοῦ εἶναι. τί οὖν κωλύει τὸ νοητὸν αὐτὸ εἶναι; ἢ ὅτι καὶ τὸ νοητὸν συνέζευκτο τῷ νῷ. εἰ οὖν μήτε ν. μήτε νοητὸν εἴη, τί ἂν εἴη; ἐξ οὗ ὁ ν. καὶ τὸ σὺν αὐτῷ νοητὸν φήσομεν III 8,9,8-12.15 (v. νοεῖν,c) καὶ γὰρ αὖ τῆς γνώσεως διὰ νοῦ τῶν ἄλλων γινομένης καὶ τῷ νῷ νοῦν γινώσκειν δυναμένων ὑπερβεβηκὸς τοῦτο τὴν νοῦ φύσιν τίνι ἂν ἁλίσκοιτο ἐπιβολῇ ἀθρόᾳ; 19-21 τί οὖν ἐστιν ὃ κομιούμεθα νοῦν παραστησάμενοι; ἢ δεῖ τὸν νοῦν οἷον εἰς τοὐπίσω ἀναχωρεῖν καὶ οἷον ἑαυτὸν ἀφέντα τοῖς εἰς ὄπισθεν αὐτοῦ ἀμφίστομον ὄντα, † κἀκεῖνα, εἰ ἐθέλοι ἐκεῖνο ὁρᾶν, μὴ πάντα νοῦν εἶναι 29-32 ἀρχὴ νοῦ 39 εἰ . . νοῦν ἐγέννησεν, ἁπλούστερον νοῦ δεῖ αὐτὸ εἶναι 43-44 τῇ δὲ τοῦ νοῦ ὄψει τὸ ἀγαθὸν τὸ πληροῦν. εἰ γὰρ αὐτὸς τὸ ἀγαθόν, τί ἔδει ὁρᾶν ἢ ἐνεργεῖν ὅλως; III 8,11, 8.14 (v. νοεῖν,c) ὁ μὲν γὰρ ν. τοῦ ἀγαθοῦ, τὸ δ' ἀγαθὸν οὐ δεῖται ἐκείνου· ὅθεν καὶ τυγχάνων τοῦ ἀγαθοῦ ἀγαθοειδὲς γίνεται καὶ τελειοῦται παρὰ τοῦ ἀγαθοῦ, τοῦ μὲν εἴδους τοῦ ἐπ' αὐτῷ παρὰ τοῦ ἀγαθοῦ ἥκοντος κτλ 15.21 (v. ἐπιθεῖν). 22 ὥστε ἐν μὲν τῷ νῷ ἡ ἔφεσις κτλ 23 οὐ τοίνυν οὐδὲ ν. (sc. τὸ ἀγαθόν) 25

μέγιστον δὲ μετ' αὐτὸν ν. καὶ δεύτερον· καὶ γὰρ ὁρᾷ ὁ ν. ἐκεῖνον καὶ δεῖται αὐτοῦ μόνου· ἐκεῖνος δὲ τούτου οὐδέν· καὶ τὸ γεννώμενον ἀπὸ κρείττονος νοῦ νοῦν εἶναι, καὶ κρείττων ἁπάντων ν., ὅτι τἆλλα μετ' αὐτόν V 1,6,41-44 ν. δὲ ὡσαύτως πρὸς ἐκεῖνον (sc. βλέπει), ἵνα ᾖ ν. 47; 7,1 (v. εἰκών,b) ἀλλ' οὐ ν. ἐκεῖνο. πῶς οὖν νοῦν γεννᾷ; ἢ ὅτι τῇ ἐπιστροφῇ πρὸς αὐτὸ ἑώρα (sc. τὸ ἕν)· ἡ δὲ ὅρασις αὕτη ν. 5-6 ἐκεῖνο οὐδὲν μὲν τῶν ἐν τῷ νῷ, ἐξ αὐτοῦ δὲ πάντα 22.27 (v. γενεά); 8,7 (v. supra,a).10 (v. Πλάτων) εἶναι δὲ (sc. ἐν ἡμῖν δεῖ) καὶ τὴν νοῦ ἀρχὴν καὶ αἰτίαν καὶ θεόν V 1,11,7 ἐγένετο πρὸς αὐτὸ (sc. τὸ ἕν) βλέπον καὶ ν. οὗτος V 2,1,11.12 (v. θέα,c) ἐπεὶ οὖν ἔστη πρὸς αὐτό (sc. τὸ ἕν), ἵνα ἴδῃ, ὁμοῦ ν. γίνεται καὶ ὄν 13 ὁ ν. μένοντος τοῦ πρὸ αὐτοῦ ἐγένετο 17 ἦ ὁ μὲν ν. τοῦτο (sc. τὸ πρῶτον); τί οὖν; οὐχ ὁρᾷ ἑαυτόν; V 3,10,5.43 (v. προνοεῖν) διὸ καὶ ὁ ν. οὗτος ὁ πολύς, ὅταν τὸ ἐπέκεινα ἐθέλῃ νοεῖν, κτλ V 3,11,1 ὥστε ὥρμησε μὲν ἐπ' αὐτὸ οὐχ

ὡς ν., ἀλλ' ὡς ὄψις οὔπω ἰδοῦσα (cj. Fic.: δοῦσα MSS), κτλ 4 τοῦτο δὲ ἤδη ν., ὅτε ἔχει, καὶ ὡς ν. ἔχει· πρὸ δὲ τούτου ἔφεσις μόνον καὶ ἀτύπωτος ὄψις. οὗτος οὖν ὁ ν. ἐπέβαλε μὲν ἐκείνῳ, λαβὼν δὲ ἐγένετο ν., ἀεὶ δὲ † ἐνδιάμενος καὶ γενόμενος καὶ ν. καὶ οὐσία καὶ νόησις, ὅτε ἐνόησε 11-14.16 (v. νόησις,d) ὥστε καὶ πρὸ νοῦ· καὶ γὰρ αὖ νοῦ ἐντὸς τὰ πάντα· ὥστε καὶ ταύτῃ πρὸ νοῦ 20-21 οὐ δὴ δεῖ, πρὸ ὧν ἔστι, τούτων ἕν τι εἶναι, οὐδὲ νοῦν αὐτὸν προσερεῖς 23 εἰ οὖν ν. (sc. ν. ἐστι), ὅτι πολύς ἐστι, καὶ τὸ νοεῖν αὐτὸ οἷον παρεμπεσόν, κἂν ἐξ αὐτοῦ ᾖ, πληθύει, δεῖ τὸ πάντη ἁπλοῦν καὶ πρῶτον ἁπάντων ἐπέκεινα νοῦ εἶναι. καὶ γὰρ εἰ νοήσει, οὐκ ἐπέκεινα νοῦ, ἀλλὰ ν. ἔσται· ἀλλὰ εἰ ν. ἔσται, καὶ αὐτὸ [τὸ] (del. Kirchhoff,H-S²) πλῆθος ἔσται 25-29 τοῦτο δὲ (sc. τὸ πλῆθος) τῷ μὲν νῷ συγχωροῦμεν, ᾧ καὶ τὸ νοεῖν ἑαυτὸ ἀπεδίδομεν, τῇ δὲ ἀρχῇ πάντων οὐκέτι V 3,12,7.15 (v. ἁπλοῦς,d) εἰ δὲ μή, οὐκ ἔσται ἡ πρώτη ἐνέργεια ὁ ν.· οὐ γὰρ οἷον προυθυμήθη νοῦν γενέσθαι, εἶτα ἐγένετο ν. κτλ (v. προθυμία) 27-28.29 τὸ δὲ ὥσπερ ἐπέκεινα νοῦ, οὕτως καὶ ἐπέκεινα γνώσεως 47 cf. ἐπέκεινα τοῦ σεμνοτάτου νοῦ V 3,13,3 ὅταν νοῦν καθαρὸν ἔχωμεν, χρώμενοι ὡς οὗτός ἐστιν ὁ ἔνδον ν., ὁ δοὺς οὐσίαν καὶ τὰ ἄλλα, ὅσα τούτου τοῦ στοίχου, αὐτὸς δὲ οἷος ἄρα, ὡς οὐ ταῦτα, κτλ V 3,14,14-15 κρείττων λόγου καὶ νοῦ καὶ αἰσθήσεως 18; 16,11 (v. κόσμος,b). 38 τὸν νοῦν τὸν ἐν τούτῳ (sc. τῷ δευτέρῳ), μίμημά τι τοῦ ἐν ἐκείνῳ ὄντος, ὅ τι δήποτέ ἐστι τοῦτο 41 τί οὖν ἐστι κρεῖττον .. νοῦ πάντα ἔχοντος .. καὶ νοῦ παντός; V 3,17,2-3 εἰ μὲν οὖν αὐτὸ ν. ἦν τὸ γεννῶν, νοῦ ἐνδεέστερον, προσεχέστερον δὲ νῷ καὶ ὅμοιον δεῖ εἶναι (sc. τὸ γεννώμενον)· ἐπεὶ δὲ ἐπέκεινα νοῦ τὸ γεννῶν, νοῦν εἶναι ἀγάνκη. διὰ τί δὲ οὐ ν. (sc. τὸ γεννῶν), οὗ ἐνέργειά ἐστι νόησις; V 4,2,1-3.42 V 5,8,9 (v. ὑπερέχειν,a) ἑστήξεται μὲν γὰρ ὁ ν. πρὸς τὴν θέαν (sc. τοῦ ἑνός) κτλ 10.16 (v. ἔρχεσθαι,c) εἶναι δὲ (sc. δεῖ) τὸν νοῦν τὸν ἐλθόντα καὶ τοῦτον εἶναι καὶ τὸν ἀπιόντα, ὅτι μὴ οἷόν ποῦ δεῖ μένειν καὶ ποῦ ἐκεῖνος μένει, ὅτι ἐν οὐδενί. καὶ εἰ οἷόν τε ἦν καὶ αὐτῷ τῷ νῷ μένειν μηδαμοῦ — οὐχ ὅτι ἐν τόπῳ· οὐδὲ γὰρ οὐδ' αὐτὸς ἐν τόπῳ, ἀλλ' ὅλως μηδαμοῦ — ἦν ἂν ἀεὶ ἐκεῖνον βλέπων· καίτοι οὐδὲ βλέπων, ἀλλ' ἐν ἐκείνῳ ὢν καὶ οὐ δύο. νῦν δέ, ὅτι ἐστὶ ν., οὕτω βλέπει, ὅτε βλέπει, τῷ ἑαυτοῦ μὴ νῷ 16-23; 9,31 εἰ δὲ μή (sc. ἀθρόως προσβαλεῖς καὶ ὅλον ἀπαγγελεῖς), ν. νοῶν ἔσῃ, κἂν τύχῃς ἐκεῖνός σε (cj. Müller,H-S²: δὲ MSS) ἐκφεύξεται, μᾶλλον δὲ σὺ αὐτόν V 5,10,9.13 (v. δύναμις,Ba); 13,10 V 6,2,2-3 (v. νοεῖν,c); 3,24 (v. νοεῖν,c) ἔτι ἄλλο ν. τοῦ ἀγαθοῦ· ἀγαθοειδὴς γὰρ τῷ τὸ ἀγαθὸν νοεῖν V 6,4,5 ν. δ' ἐν αὐτῷ οἰκεῖον ἔχει (sc. φῶς) οὐ φῶς ὂν μόνον, ἀλλ' ὃ ἐστι πεφωτισμένον ἐν τῇ αὐτοῦ οὐσίᾳ, κτλ 17 V 8,1,4 (v. πατήρ, b) ἢ καὶ νοῦ ἐπέκεινα δεῖ ἰέναι, ν. δὲ προέστηκε μὲν ἀρχῆς τῆς πρώτης ὡς πρὸς ἡμᾶς, ὥσπερ ἐν «προθύροις τἀγαθοῦ» (cf. Plat. Phileb. 64c) ἀπαγγέλλων ἐν αὐτῷ τὰ πάντα, ὥσπερ ἐκείνου τύπος μᾶλλον ἐν πλήθει ἐκείνου πάντη μένοντος ἐν ἑνί; V 9,2,24; 14,8 (v. supra,a)

VI 2,9,7 (v. τὸ ἕν,a) δύναμιν οὖν εἰς τὸ γεννᾶν εἶχε (sc. ὁ ν.) παρ' ἐκείνου καὶ τῶν αὐτοῦ πληροῦσθαι γεννημάτων διδόντος ἐκείνου ἃ μὴ εἶχεν αὐτός. ἀλλ' ἐξ ἑνὸς αὐτοῦ πολλὰ τούτῳ· ἦν γὰρ ἐκομίζετο δύναμιν ἀδυνατῶν ἔχειν συνέθρανε καὶ πολλὰ ἐποίησε τὴν μίαν, ἵν' οὕτω δύναιτο κατὰ μέρος φέρειν. .. καὶ νοῦν τὸν πάντα .. ἱδρυμένον, κτλ VI 7,15,29 ἆρα, ὅτε ἑώρα πρὸς τὸ ἀγαθόν, ἐνόει ὡς πολλὰ τὸ ἓν ἐκεῖνο καὶ ἐν ὃν αὐτὸς ἐνόει αὐτὸν πολλὰ μερίζων αὐτὸν παρ' αὐτῷ τῷ νοεῖν μὴ ὅλον ὁμοῦ δύνασθαι; ἀλλ' οὔπω ν. ἦν ἐκεῖνο βλέπων, ἀλλ' ἔβλεπεν ἀνοήτως. ἢ φατέον ὡς οὐδὲ ἑώρα πώποτε, ἀλλ' ἔζη μὲν πρὸς αὐτὸ καὶ ἀνήρτητο αὐτοῦ καὶ ἐπέστραπτο πρὸς αὐτό, ἡ δὴ κίνησις αὕτη πληρωθεῖσα τῷ ἐκεῖ κινεῖσθαι καὶ περὶ ἐκεῖνο ἐπλήρωσεν αὐτὸ καὶ οὐκέτι κίνησις ἦν μόνον, ἀλλὰ κίνησις διακορὴς καὶ πλήρης· ἐξῆς δὲ πάντα ἐγένετο καὶ ἔγνω τοῦτο ἐν συναισθήσει αὐτοῦ καὶ ν. ἤδη ἦν, πληρωθεὶς μέν, ἵν' ἔχῃ, ὃ ὄφεται, βλέπων δὲ αὐτὰ μετὰ φωτὸς παρὰ τοῦ δόντος ἐκεῖνα καὶ τοῦτο κομιζόμενος VI 7,16,13-20.28 (v. τὸ ἀγαθόν) οὔτε τὰ ὄντα οὔτε ν. ἐστιν (sc. ἡ τοῦ ἀγαθοῦ φύσις), ἀλλὰ αἴτιος τούτων καὶ .. εἰς τὸν νοῦν παρέχων (v. φῶς). πληρούμενος μὲν οὖν ἐγίνετο, πληρωθεὶς δὲ ἦν, καὶ ὁμοῦ ἀπετελέσθη καὶ ἑώρα. ἀρχὴ δὲ αὐτοῦ ἐκεῖνό τε δ (τε δ cj. Igal,H-S²: τὸ MSS) πρὶν πληρωθῆναι ἦν· ἑτέρα δὲ ἀρχὴ οἱονεὶ ἔξωθεν ἡ πληροῦσα ἦν, ἀφ' ἧς οἷον ἐτυποῦτο πληρούμενος. ἀλλὰ πῶς ταῦτα ἐν αὐτῷ καὶ αὐτός, οὐκ ὄντων ἐκεῖ ἐν τῷ πληρώσαντι οὐδ' αὖ ἐν αὐτῷ τῷ πληρουμένῳ; ὅτε γὰρ μήπω ἐπληροῦτο, οὐκ εἶχεν 29-31; 17,25 (v. supra,a) ἴχνος οὖν καὶ ν. ἐκείνου· ἐπεὶ δὲ ὁ ν. εἶδος καὶ ἐν ἐκτάσει (cj. Theiler: ἐκστάσει most MSS) καὶ πλήθει, ἐκεῖνος ἄμορφος καὶ ἀνείδεος· οὕτω γὰρ εἰδοποιεῖ VI 7,17,39.41 (v. λόγος,c) ἀλλ' ἀγαθοειδῆ κατὰ τί τὰ ἐν τῷ νῷ; ἆρα ᾗ εἶδος ἕκαστον ἢ ᾗ καλὰ ἢ τί; VI 7,18,1.5.6.8.23.30 (v. ζωή,d); 20,9.11 καὶ τῶν μὲν μὴ ἐχόντων νοῦν οὐ πάντα νοῦν κτήσασθαι ζητεῖ, τὰ δ' ἔχοντα νοῦν οὐχ ἵσταται ἤδη, ἀλλὰ πάλιν τὸ ἀγαθὸν ζητεῖ, καὶ νοῦν μὲν ἐκ λογισμοῦ, τὸ δ' ἀγαθὸν καὶ πρὸ τοῦ λόγου. εἰ δὲ καὶ ζωῆς ἐφίεται καὶ τοῦ ἀεὶ εἶναι καὶ ἐνεργεῖν, οὐχ ᾗ ν. ἂν εἴη τὸ ἐφετόν, ἀλλ' ᾗ ἀγαθὸν καὶ ἀπὸ ἀγαθοῦ καὶ εἰς ἀγαθόν· ἐπεὶ καὶ ἡ ζωὴ οὕτως 19-23 εἶναι τὸν νοῦν καὶ τὴν ζωὴν ἐκείνην ἀγαθοειδῆ (q.v.), .. γίνεται δὲ πρὸς αὐτὰ (sc. τὰ ἐν τῷ νῷ) ἔρως ὁ σύντονος οὐχ ὅταν ᾖ ἅπερ ἐστίν, ἀλλ' ὅταν ἐκεῖθεν ἤδη ὄντα (cj. Fic.: ὂν MSS) ἅπερ ἐστὶν ἄλλο προσλάβῃ VI 7,21,2 ὁ νῷ φῶς παρέχει VI 7,23,1. 19.20 ἐμπνέον νοῦν 23; 24,2 (v. φῶς) νοῦν

ἀγαθὸν λέγοντες καί τι ἐπέκεινα τούτων; κτλ 20.21; 25,2.5 (v. ἀνήδονος).30; 29,21 (v. ἀπομαντεύεσθαι) εἰ δὴ ν. τίμιον καὶ καλὸν καὶ ν. ὁ πρῶτος μάλιστα, τί ἂν φαντασθείη τις, εἴ τις δύναιτο τὸν τούτου γεννητὴν καὶ πατέρα; 26-27 τὸ μὲν οὖν οἴεσθαι τὸ ἀγαθὸν ἔκ τε τοῦ ὡς ὑποκειμένου, ἔκ τε τοῦ πάθους τῆς ψυχῆς ὃ γίνεται ἐκ τοῦ φρονεῖν, οὐ τὸ τέλος οὐδ' αὐτὸ τὸ ἀγαθὸν τὸ συναμφότερόν ἐστι τιθέντος, ἀλλὰ ν. ἂν εἴη τὸ ἀγαθόν, ἡμεῖς δὲ χαίροντες τῷ τὸ ἀγαθὸν ἔχειν VI 7,30,5-7 ἑτέρα δὲ εἴη ἂν (sc. δόξα) παρὰ ταύτην, ἣ μίξασα τῷ νῷ τὴν ἡδονὴν ὡς ἕν τι ἐξ ἀμφοῖν ὑποκείμενον τοῦτο τίθεται εἶναι, ἵν' ἡμεῖς τὸν τοιοῦτον νοῦν κτησάμενοι ἢ καὶ ἰδόντες τὸ ἀγαθὸν ἔχωμεν· τὸ γὰρ «ἔρημον καὶ μόνον» (cf. Plat. Phileb. 63b) οὔτε γενέσθαι οὔτε αἱρετὸν εἶναι δυνατὸν ὡς ἀγαθόν. πῶς ἂν οὖν μιχθείη ν. ἡδονῇ εἰς μίαν συντέλειαν φύσεως; ὅτι μὲν οὖν τὴν σώματος ἡδονὴν οὐκ ἄν τις οἰηθείη νῷ δυνατὴν εἶναι μίγνυσθαι, παντὶ δήπου δῆλον. ἀλλ' οὐδ' ὅσαι χαραὶ ψυχῆς ἂν ἄλογοι (scr. Kirchhoff: ἀνάλογοι MSS) γένοιντο 10-16 τὴν τοιαύτην (v. ζωή,b) τοῦ νοῦ κατάστασιν ἀσμενιστὴν καὶ αἱρετωτάτην εἶναι τιθέμενοι ἡδονῇ μεμίχθαι λέγουσιν ἀπορίᾳ οἰκείας προσηγορίας, οἷα ποιοῦσι καὶ τὰ ἄλλα ὀνόματα παρ' ἡμῖν ἀγαπώμενα μεταφέροντες, τὸ «μεθυσθεὶς ἐπὶ τοῦ νέκταρος» (cf. Plat. Symp. 203b) κτλ 23 ἀλλ' ἐπεὶ ἐκαλλύνθη τὰ πάντα ἐκείνῳ τῷ πρὸ τούτων καὶ φῶς ἔσχε, ν. μὲν τὸ τῆς ἐνεργείας τῆς νοερᾶς φέγγος, ᾧ τὴν φύσιν ἐξέλαμψε, ψυχὴ δὲ δύναμιν ἔσχεν εἰς τὸ ζῆν ζωῆς πλείονος εἰς αὐτὴν ἐλθούσης. ἤρθη μὲν οὖν ἐκεῖ καὶ ἔμεινεν ἀγαπήσας τὸ περὶ ἐκεῖνον εἶναι VI 7,31,2 ἐπειδὴ ὁ ν. ἴδιόν τι νοεῖ, ἠλάττωται, κἂν ὁμοῦ πάντα λάβῃ ὅσα ἐν τῷ νοητῷ· κἂν ἕκαστον, μίαν μορφὴν νοητὴν ἔχει· ὁμοῦ δὲ πάντα οἷον ποικίλην τινά, ἔτι ἐν δεήσει, οἷον δεῖ θεάσασθαι ὃν ὑπὲρ ἐκεῖνο τὸ πάγκαλον καὶ ποικίλον καὶ οὐ ποικίλον, οὗ ὀρέγεται μὲν ψυχὴ οὐ λέγουσα διὰ τί τοιοῦτον ποθεῖ, ὁ δὲ λόγος λέγει, ὅτι τοῦτο τὸ ὄντως (sc. καλὸν ἢ τὸ ὑπέρκαλον), εἴπερ ἐν τῷ πάντῃ ἀνειδέῳ ἡ τοῦ ἀρίστου φύσις καὶ ἡ τοῦ ἐρασμιωτάτου VI 7,33,7 καὶ τὸν νοῦν τοίνυν (sc. δεῖ) τὴν μὲν ἔχειν δύναμιν εἰς τὸ νοεῖν, ᾗ τὰ ἐν αὐτῷ βλέπει, τὴν δέ, ᾗ τὰ ἐπέκεινα αὐτοῦ ἐπιβολῇ τινι καὶ παραδοχῇ, καθ' ἣν καὶ πρότερον ἑώρα μόνον καὶ ὁρῶν ὕστερον καὶ νοῦν ἔσχε καὶ ἓν ἐστι. καὶ ἔστιν ἐκείνη μὲν ἡ θέα νοῦ ἔμφρονος, αὕτη δὲ ν. ἐρῶν, ὅταν ἄφρων γένηται «μεθυσθεὶς τοῦ νέκταρος» (cf. Plat. Symp. 203b)· τότε ἐρῶν γίνεται ἁπλωθεὶς εἰς εὐπάθειαν τῷ κόρῳ· καὶ ἔστιν αὐτῷ μεθύειν βέλτιον ἢ σεμνοτέρῳ εἶναι τοιαύτης μέθης. παρὰ μέρος δὲ ὁ ν. ἐκεῖνος ἄλλα, τὰ δὲ ἄλλοτε ἄλλα ὁρᾷ; ἢ οὔ· ὁ δὲ λόγος διδάσκων γινόμενα ποιεῖ, τὸ δὲ ἔχει τὸ νοεῖν ἀεί, ἔχει δὲ καὶ τὸ μὴ νοεῖν, ἀλλὰ ἄλλως ἐκεῖνον βλέπειν. καὶ γὰρ ὁρῶν ἐκεῖνον ἔσχε γεννήματα καὶ συνῄσθετο καὶ τούτων γενομένων καὶ ἐνόντων· καὶ ταῦτα μὲν ὁρῶν λέγεται νοεῖν, ἐκεῖνο (i.e. τὸ ἕν) δὲ ᾗ δυνάμει ἔμελλε νοεῖν VI 7,35.20-28. 43 (v. νοεῖν,b) ὅστις .. γενόμενος οὐσία καὶ ν. .. μηκέτι ἔξωθεν αὐτὸ βλέποι VI 7,36,12.17 (v. κῦμα) οὐδὲ ν. καὶ νοούμενον (sc. ἐν τῷ ἀγαθῷ) 22 τὸ ἐξ ἄλλου δίδομεν νοεῖν καὶ οἷον ζητεῖν αὐτοῦ τὴν οὐσίαν καὶ αὐτὸ καὶ τὸ ποιῆσαν αὐτό, καὶ ἐπιστραφὲν ἐν τῇ θέᾳ καὶ γνωρίσαν νοῦν ἤδη δικαίως εἶναι VI 7,37,21 διὸ ὑπὲρ (διὸ ὑπὲρ cj. Fic.: διόπερ MSS) νοῦν φησιν ὁ Πλάτων εἶναι ὀρθῶς (cf. Plat. Rep. 509b). ν. μὲν γὰρ μὴ νοῶν ἀνόητος· ᾧ γὰρ ἡ φύσις ἔχει τὸ νοεῖν, εἰ μὴ τοῦτο πράττοι, ἀνόητον· ᾧ δὲ μηδὲν ἔργον ἐστί, κτλ 24 διὸ καὶ ὀρθῶς ἑτερότητα λαμβάνει (sc. Plato, Soph. 254e-255a and Parm. 146a-d), ὅπου ν. καὶ οὐσία. δεῖ γὰρ τὸν νοῦν ἀεὶ ἑτερότητα καὶ ταὐτότητα λαμβάνειν, εἴπερ νοήσει. ἑαυτόν τε γὰρ οὐ διακρινεῖ ἀπὸ τοῦ νοητοῦ τῇ πρὸς αὐτὸ ἑτέρου σχέσει τά τε πάντα οὐ θεωρήσει, μηδεμιᾶς ἑτερότητος γενομένης εἰς τὸ πάντα εἶναι· οὐδὲ γὰρ ἂν οὐδὲ δύο VI 7,39,5.16 (v. νοεῖν,c); 41,9 (v. νοεῖν,c) εἰ δὲ ταὐτὸν ν., νόησις, νοητόν, πάντη ἓν γενόμενα ἀφανιεῖ αὐτὰ ἐν αὐτοῖς· διακριθέντα δὲ τῷ (cj. Kirchhoff: τὸ MSS) ἄλλο πάλιν αὖ οὐκ ἐκεῖνο ἔσται 12 εἰ οὖν καὶ ν. τῶν πάντων, οὐδὲ ν. ἐκείνῳ VI 7,42,15 νοῦ εἰς τἀγαθόν (sc. ἀνηρτημένου), οὕτω πάντα εἰς ἐκεῖνον διὰ μέσων, κτλ 21 VI 8,10,16 (v. τύχη,a); 15,20 (v. τὸ ἀγαθόν); 16,16 (v. ἀγαπητός, ἐνέργημα).34. 35. εἰ μὲν .. ὁ τοιοῦτος ν., .. εἰ δὲ τὸ πρὸ τοῦ τοιούτου (sc. τοῦ νοῦ) ἀρχή, δηλονότι προσεχὴς τούτῳ τῷ οὕτω λελογωμένῳ, καὶ τὸ οὕτω λεγόμενον τοῦτο κατ' ἐκεῖνο καὶ μετέχον ἐκείνου καὶ οἷον θέλει ἐκεῖνο καὶ δύναμις ἐκείνου VI 8,17,13 τὸ δ' ἔξω αὐτοῦ, οἷον κύκλῳ ἐφαπτόμενον αὐτοῦ καὶ ἐξηρτημένον πᾶν ὁ λόγος καὶ ν.· μᾶλλον δ' ἂν εἴη ν., καθὸ ἐφάπτεται καὶ ᾗ ἐφάπτεται αὐτοῦ καὶ ᾗ ἐξήρτηται, ἅτε παρ' ἐκείνου ἔχων τὸ ν. εἶναι VI 8,18,5-7.19 (v. κύκλος).21.27-29.32 (v. ἕν,a).36 (v. supra,a) VI 9,2,29 (v. πρῶτος,b1) ὅτι δὲ οὐχ οἷόν τε τὸν νοῦν τὸ πρῶτον εἶναι καὶ ἐκ τῶνδε δῆλον ἔσται· τὸν νοῦν ἀνάγκη ἐν τῷ νοεῖν εἶναι καὶ τόν γε ἄριστον καὶ τὸν οὐ πρὸς τὰ ἔξω βλέποντα νοεῖν τὸ πρὸ αὐτοῦ· εἰς αὐτὸν γὰρ ἐπιστρέφων εἰς ἀρχὴν ἐπιστρέφει. καὶ εἰ μὲν αὐτὸς τὸ νοοῦν καὶ τὸ νοούμενον, διπλοῦς ἔσται καὶ οὐχ ἁπλοῦς οὐδὲ τὸ ἕν· εἰ δὲ πρὸς τὸ ἕτερον βλέπει, πάντως πρὸς τὸ κρεῖττον καὶ πρὸ αὐτοῦ. εἰ δὲ καὶ πρὸς αὐτὸν καὶ πρὸς τὸ κρεῖττον, καὶ οὕτω δεύτερον. καὶ χρὴ τὸν νοῦν τοιοῦτον τίθεσθαι, οἷον παρεῖναι μὲν τῷ ἀγαθῷ καὶ τῷ πρώτῳ καὶ βλέπειν εἰς ἐκεῖνον, συνεῖναι δὲ καὶ ἑαυτῷ νοεῖν τε καὶ ἑαυτὸν καὶ νοεῖν ἑαυτὸν ὄντα τὰ πάντα. πολλοῦ ἄρα δεῖ τὸ ἓν εἶναι ποικίλον ὄντα 32-40.45-46 (v. ἕν,a) νοῦν τοίνυν χρὴ γενόμενον καὶ τὴν

ψυχὴν τὴν αὐτοῦ νῷ πιστεύσαντα καὶ ὑφιδρύσαντα, ἵν' ἃ ὁρᾷ ἐκεῖνος ἐγρηγορυῖα δέχοιτο, τούτῳ θεᾶσθαι τὸ ἓν οὐ προστιθέντα αἴσθησιν οὐδεμίαν οὐδέ τι παρ' αὐτῆς εἰς ἐκεῖνον δεχόμενον, ἀλλὰ καθαρῷ τῷ νῷ τὸ καθαρώτατον θεᾶσθαι καὶ τοῦ νοῦ τῷ πρώτῳ. ὅταν τοίνυν ὁ ἐπὶ τὴν θέαν τοῦ τοιούτου ἐσταλμένος ἢ μέγεθος ἢ σχῆμα ἢ ὄγκον περὶ ταύτην τὴν φύσιν φαντασθῇ, οὐ ν. τούτῳ ἡγεμὼν γίνεται τῆς θέας, ὅτι μὴ ν. τὰ τοιαῦτα πέφυκεν ὁρᾶν, ἀλλ' ἔστιν αἰσθήσεως καὶ δόξης ἑπομένης αἰσθήσει ἡ ἐνέργεια. ἀλλὰ δεῖ λαβεῖν παρὰ νοῦ τὴν ἐπαγγελίαν ὧν δύναται. δύναται δὲ ὁρᾶν ὁ ν. [ἢ τὰ πρὸ αὐτοῦ] (del. Igal,H-S²) ἢ τὰ αὐτοῦ ἢ τὰ πρὸ (cj. Igal,H-S²: παρ' MSS) αὐτοῦ. καθαρὰ δὲ καὶ τὰ ἐν αὐτῷ, ἔτι δὲ καθαρώτερα καὶ ἁπλούστερα τὰ πρὸ αὐτοῦ, μᾶλλον δὲ τὸ πρὸ αὐτοῦ. οὐδὲ ν. τοίνυν, ἀλλὰ πρὸ νοῦ· τί γὰρ τῶν ὄντων ἐστὶν ὁ ν.· ἐκεῖνο δὲ οὔ τι, κτλ VI 9,3,22-37.41; 5,25.27 (v. τὸ ἕν,a) ἄγει εἰς οὐσίαν νοῦν 35; 6,12 (v. τὸ ἕν,a) ὑπὲρ νοῦν τε ἐκεῖνο VI 9,8,25 πηγὴν δὲ νοῦ VI 9,9,2

d) Used of *mind, common sense, understanding*, without any particular philosophical implication: εἰ γὰρ τῷ νῷ ἀφέλοις τὴν ποικιλίαν κτλ II 4,4,18 ν. εὑρίσκει τὸ διττόν (sc. μορφὴν καὶ ὕλην) II 4,5,4 οὔτε αἴσθησιν οὔτε νοῦν ἔχοντος II 9,16,38 cf. III 2,1,3 νοῦν καὶ σύνεσιν (sc. ἡ κακία) ἐγείρει (Theodoretus: ἐγεῖραι MSS) III 2,5,19 οὐδεὶς νοῦν ἔχων III 2,9,32 cf. τίς ἂν ἀμφισβητοίη νοῦν ἔχων, κτλ IV 7,11,1 cf. ὁ νοῦν ἔχων VI 7,29,13 ἐν νῷ λαβεῖν ὡς κτλ IV 3,11,3 χωρίζοντες τῷ νῷ VI 2,7,40 (v. στάσις)

νύκτωρ *by night*: ν. καὶ μεθ' ἡμέραν II 9,18,13 ν. ἐν σκότῳ IV 5,3,3 V 5,7,25

νῦν* *now*: **a)** I 4,2,53 (v. κρείττων,b) καὶ νῦν δὲ λελέχθω συντόμως ὡς, κτλ I 4,3,37 cf. I 8,2,1. II 3,16,4. III 4,4,14 cf. νῦν δέ, πῶς κτλ; VI 2,13,1; 14,18 νῦν μᾶλλον . . ἢ πρότερον I 5,2,5 οὐ νῦν μὲν τόδε, αὖθις δ' ἕτερον III 7,3,17 cf. 18.28 ἡ νῦν ζωή III 7,11,39 διὰ τί νῦν, ἀλλ' οὐκ ἀεὶ οὕτως (sc. ποιεῖ τὸ ποιοῦν); IV 3,8,33; 13,14 (v. ὁρμή,a) εἰ τὸ συμπαθὲς νῦν ('as we now hold') διὰ τὴν ζῴου ἑνὸς φύσιν IV 5,8,3 cf. οὐδὲ γὰρ νῦν κτλ (v. ἀήρ) IV 5,6,31 ἐξ ἀρχῆς εἰς νῦν V 5,12,6 (v. ἐπιλανθάνεσθαι) οὐχ ὡς νῦν κτλ VI 1,17,18 (v. κινεῖν,a) ἀλλὰ τί νῦν ποιεῖ (sc. τὸ ἀγαθόν); ἢ καὶ νῦν σῴζει ἐκεῖνα κτλ VI 7,23,22

b) καὶ νῦν in various senses: εἰ δ' οὕτω, τὰς σημασίας καὶ νῦν ('at once') δοτέον II 3,10,1 ἐπεὶ καὶ νῦν ('as things are now' or 'here below') ὅσα μίγνυται τῷ ὕλην ἔχειν εἰς ταὐτὸν ἔρχεται II 4,12,8 cf. ἐπεὶ καὶ νῦν προστιθεμένων τινῶν λήθη IV 3,26,51. VI 6,10,4 cf. ἐπεὶ καὶ νῦν καλόν τι, ὅτι πάντα VI 7,3,10 καὶ νῦν ('now too', in apodosis) ἀνάγκη (sc. τὴν ὕλην παρακολουθεῖν) II 9,3,18 τοῦτο δὲ (sc. τὸ θεῖον) καὶ νῦν ('as things are') ἐστι III 2,9, 4 cf. IV 5,2,6 (v. ὅμμα) ἀπορῶ πῶς ποτε καὶ νῦν ('now too') καταβαίνω IV 8,1,8 VI 7,23,22 (v. supra,a)

c) *νῦν δέ, but as things are, but as a matter of fact*, very common after the rejection of a previous supposition or argument: I 2,1,41 I 4,9,28 II 3,3,4 II 4,16,11 II 9,14,13 III 2,8,35; 10,15; 15,31 III 3,4,4 III 6,7,36; 14,28 III 7,7, 15 IV 3,21,14 IV 4,19,19 IV 7,10,24 IV 9,4,25 V 5,8,22 VI 1,29,32 VI 9,9,4 cf. ἀλλὰ νῦν IV 4, 40,19

d) *τὸ νῦν the present*: οὔτε γὰρ ἔστιν, ἀφ' οὗ εἰς τὸ νῦν ἥξει (sc. ὁ αἰών) III 7,3,29 cf. III 7,9,65 (v. χρόνος,b1) εἱμαρμένον . . τῷ τοιῷδε τὸ νῦν, τῷ δὲ τὸ αὖθις IV 3,13,21 VI 1,5,16 (v. χρόνος,b1) VI 3,19,23 (v. κίνησις,a) τὸ γὰρ νῦν καὶ τὸ ἄνευ θεοῦ (sc. ζῆν) ἴχνος ζωῆς VI 9,9,16 τὸ δὲ νῦν (sc. what we have now reached,i.e. ὕλη) πάντη (sc. ἀόριστον) III 4,1, 14 Adverbial: ὑποθεμένοις τὸ νῦν εἶναι τὰ εἴδη II 4,4,1 τὰ νῦν: οὐ γὰρ ἂν τὰ νῦν περὶ τούτων III 2,7,27 cf. περὶ οὗ καὶ τὰ νῦν εἰπεῖν πρόκειται V 9,3,8

νυνί *at the present moment*: τῷ μὴ ἔχειν νυνί (sc. τὰ καλά) I 5,9,3 VI 2,1,19 (v. σκέψις)

νύξ *night*: νυκτὸς ἡ ἀστραπή I 6,1,33 II 3,5, 8.10 (v. καταλαμβάνεσθαι) III 7,12,32 (v. ἡμέρα) IV 4,7,11 (v. ἡμέρα) IV 5,4,37 (v. ἄστρον) VI 6,4,13 (v. ἀριθμός,a)

νυός *daughter-in-law*: «ἑλκόμεναι νυοί» (cf. Hom. X 65) I 4,7,33.

νύττειν *prick, impinge upon*: ἢ νύττοι (sc. τὴν ὄψιν) κατὰ συμβεβηκὸς ἂν τὸ μεταξὺ σῶμα, κτλ IV 5,1,18 εἰ δ' ὅτι νύττει τοῦτο (sc. τὸ ὄν) κτλ VI 6.12,5 (v. ἕν,b) νυττομένην . . τὴν ψυχήν 6 (v. ἕν,b)

νωδός *toothless*: VI 3,19,16 (v. στέρησις)

νώθεια *sluggishness*: νωθείᾳ αἰσθήσεως III 4,2,22 III 6,6,45 (of bodies, v. καταφορά)

νωθής *sluggish, dull*: παρόντος νοῦ ἐστι πρὸς αὐτὸν ν. (sc. ψυχή) VI 7,22,14 Comp.: οἱ νωθέστεροι τῶν παίδων III 8,4,45 (v. τέχνη)

νῶτον *back*: «ἐπὶ τοῖς νώτοις τοῦ οὐρανοῦ» (cf. Plat. Phaedr. 247b-c) IV 5,3,23 (v. ὄψις)

Ξ

ξανθός *yellow, brown*: ξανθὸν χρῶμα (q.v.) V 8,10,27 τὸ ξανθόν VI 3,20,16 (v. ποιός)

ξένος *foreign, strange*: ἡ γῆ αὐτοῖς (Gnostics) ἡ ξένη λεγομένη II 9,11,12 ὥσπερ ξένη ψυχή (q.v.,d1α) IV 7,5,19 τοὺς ἐπιδημοῦντας ξένους VI 3,1,28 (v. παραλείπειν)

ξηραίνειν *dry*: τῷ . . ὑγρῷ ἡ ἀλλοίωσις ἡ παρὰ τοῦ ξηραίνοντος III 6,8,5 Pass.: ξηραν-

θὲν (sc. τὸ ἐγκεντρισθέν) κτλ II 9,7,22 [ξηραινομένην] (del. Page,H-S²) III 6,12,30

ξηρός *dry*: τὸ . . ξηρόν I 8,6,51 (v. ὕλη,c1a) II 4,12,32 II 9,5,20 III 6,8,6 εἰ τὸ αὐτὸ μέτρον καὶ ὑγρῶν καὶ ξηρῶν εἴη III 7,9,10 ἔστι . . διαιρεῖν, θερμῷ καὶ ξηρῷ, καὶ ξηρῷ καὶ ψυχρῷ, κτλ VI 3,10,1-2

ξηρότης *dryness*: VI 3,8,15

ξύλον *timber, log, bole*: τῷ ἐν τῷ ξύλῳ (sc. εὐθεῖ) IV 4,23,40 οὐκέτι φυτοῦ, ἀλλὰ μόνον ξύλου IV 4,27,7 IV 7,9,24 (v. λίθος) V 9,3,11 (v. τεχνητός) ξ. παρὰ τεκτονικῆς (sc. μορφὴν ἴσχει) V 9,5,38 ξ. διπλάσιον (q.v.) VI 3,4,10 οὐδὲ ξ. καθὸ ξ. ἄλλου (sc. λέγεται) 13 οὐχ ὡς τὸ ξ. λευκόν, κτλ VI 3,5,19 (v. ἄνθρωπος); 11,5 (v. ποσός) ξ. πολύπηχυ VI 4,7,10 τῷ δὲ ξύλῳ τοῦ δένδρου (q.v.) VI 7,11,28 Plur.: I 4,7,23 (v. λίθος) II 1,4,28 (v. ἐκτρίβειν) II 9,18,11 (v. λίθος) cf. IV 4,36,12 ἐπεὶ καὶ ἀπὸ τῶν ξύλων ἡ ὁρμὴ πρὸς τὸ ἄνω οὐκ ὠθούντων IV 5,2,43

ξύμπας v. σύμπας

ξυνός *common*: VI 5,10,12 (Heraclit. frg. B113, v. φρονεῖν)

O

ὁ* demonstrative pronoun and article. a) ὁ μὲν . . ὁ δὲ . . ὁ δέ I 5,5,1-2 ἡ μὲν (sc. ἀρετή) . . ἡ δέ I 2,7,17 ὁμοίωσις ἡ μὲν . . ἡ δέ 28-29 ζωὴ ἡ μὲν . . ἡ δέ I 4,1,24 ἧ αἱ μὲν (sc. διάνοιαι καὶ δόξαι) οὕτως, αἱ δὲ ἄλλως I 1,1,8 cf. I 1,10,14-15 ἄλλοι λόγοι . . οἱ δέ I 8,11,7 τὸ μὲν εἶναι τὸ χρώμενον, τὸ δὲ ᾧ χρῆται I 1,3,15.21.22; 4,1-2 I 2,3,26 ἐνταῦθα δὲ (sc. ἐν τῷ σπουδαίῳ) τὸ μὲν ἀλγοῦν ἄλλο, τὸ δὲ ἄλλο, κτλ I 4,13,10 τὸ μὲν (sc. τοῦ ἀγαθοῦ) ἔχουσα, τοῦ δὲ ἐστερημένη I 8,12,3 ὃ μὲν ἂν δέηταί τινος τὸ δ' ἔχῃ κτλ II 4,16,18 εἰ τὸ μὲν (anticipatory) λευκαίνει ὁ λόγος ὁ τοῦ κύκνου, ὁ δὲ λευκαίνεται ὁ γιγνόμενος κύκνος VI 1,20,18 cf. τὸ δὲ βέλτιον γίγνοιτο, ὁ χαλκός 25 ἢ ἐπὶ μὲν τῶν ἐστιν, ὥσπερ ἐπὶ τοῦ ὕστερον λεχθέντος, ἐπὶ δὲ τοῦ πρότερον λεχθέντος οὐδεμία (sc. ὑπόστασις ἡ σχέσις) VI 1,6,5-6 cf. VI 1,7,17-19 Cases where τὸ μέν etc. are omitted: ἀλλ' ὡς ἡμεῖς φαμεν πρότερον, τὸ δὲ ὕστερον εἶναι I 4,3,17 τῶν ψυχῶν, αἳ δὴ (cj. Kirchhoff: δὲ most MSS) τὰ πονηρά, αἱ δὲ τὰ χρηστὰ ἐργάσονται III 2,18,19 οἷς (sc. τῷ μὲν) ἄλλο ἔργον, τῷ δὲ ἄλλο IV 3,3,13 ποδῶν δὲ χωλεία (sc. ἡ μέν) . ., ἡ δὲ κτλ V 9,10,5 τὸ δ' (sc. τὸ ἀγαθόν) ἐστὶν ἀνενδεές I 8,2,4 τὸ δὲ (sc. τὸ εὖ) οὐ πρὸς ἡμᾶς II 3,3,25 τὸ δὲ (sc. τὸ ἐπιθυμητικόν) κτλ IV 4,17,14 τὸ δὲ ἴσως ἦν οὐ θέαμα (q.v.), κτλ VI 9,11,22

b) Idiomatic use of τὸ δέ, *but the fact is*: τὸ δὲ κεῖται ἄνθρωπος ἐν μέσῳ θεῶν καὶ θηρίων III 2,8,9 III 3,7,23 III 7,6,26 τὸ δὲ ἐπὶ τοῦ συνεχοῦς (q.v.) κτλ IV 3,2,35 IV 4,36,18 τὸ δ' ἀνάπαλιν ἐξ ἑνός ἐστι δύο V 6,1,22 τὸ δὲ ('but this is true') οὐδ' ἐν ταῖς ἐνταῦθα ἐπιστήμαις V 8,4,49 VI 4,2,30 VI 7,2,6

